eul_wid: boa-ac

*Πίνδαρος* · Pindar

# Pythian Odes

## *Πυθιονῖκαι*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Δωρὶς λογοτεχνική* Literary Doric
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1 .
book 1.2.1 μὲν βάσις ἀγˈλαΐας ἀρχά,
book 1.2.2 πείθονται δ’ ἀοιδοὶ σάμασιν
book 1.2.3 ἁγησιχόρων ὁπόταν προοιμίων
book 1.4 ἀμβολὰς τεύχῃς ἐλελιζομένα.
book 1.5.1 καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
book 1.5.2 αἰενάου πυρός. εὕδει δ’ ἀνὰ σκά-
book 1.6 πτῳ Διὸς αἰετός, ὠκεῖ-
book 1.6.1 αν πτέρυγ’ ἀμφοτέρωθεν χαλάξαις,
book 1.6.2 ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ’ ἐπί οἱ νεφέλαν
book 1.6.3 ἀγκύλῳ κρατί, γˈλεφάρων ἁδὺ κλάϊ-
book 1.8.1 θˈρον, κατέχευας· ὁ δὲ κˈνώσσων
book 1.8.2 ὑγˈρὸν νῶτον αἰωρεῖ, τεαῖς
book 1.10 ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βια-
book 1.10.1 τὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπών
book 1.10.2 ἐγχέων ἀκˈμάν, ἰαίνει καρδίαν
book 1.10.3 κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλ-
book 1.12 γει φρένας ἀμφί τε Λατοί-
book 1.12.1 δα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν.
book 1.12.2 ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοάν
book 1.12.3 Πιερίδων ἀΐοντα, γᾶν τε καὶ πόν-
book 1.14 τον κατ’ ἀμαιμάκετον,
book 1.15.1 ὅς τ’ ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,
book 1.15.2 Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
book 1.15.3 Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μάν

book 1.15.4 ταί θ’ ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
book 1.15.5 Σικελία τ’ αὐτοῦ πιέζει
book 1.19 στέρνα λαχˈνάεντα· κίων δ’ οὐρανία συνέχει,
book 1.20 ⸏νιφόεσς’ Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα·
book 1.1 τᾶς ἐρεύγονται μὲν ἀπˈλάτου πυρὸς ἁγˈνόταται
book 1.2 ἐκ μυχῶν παγαί· ποταμοὶ δ’ ἁμέραισιν
book 1.22.1 μὲν προχέοντι ῥόον καπˈνοῦ
book 1.22.2 αἴθων’· ἀλλ’ ἐν ὄρφναισιν πέτρας
book 1.22.3 φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖ-
book 1.24 αν φέρει πόντου πλάκα σὺν πατάγῳ.
book 1.25.1 κεῖνο δ’ Ἁφαίστοιο κρουνοὺς ἑρπετόν
book 1.25.2 δεινοτάτους ἀναπέμπει· τέρας μὲν
book 1.26 θαυμάσιον προσιδέσθαι,
book 1.26 θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι,
book 1.1 οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
book 1.2 καὶ πέδῳ, στρωμνὰ δὲ χαράσσοις’ ἅπαν νῶ-
book 1.28.1 τον ποτικεκˈλιμένον κεντεῖ.
book 1.28.2 εἴη, Ζεῦ, τὶν εἴη ἁνδάνειν,
book 1.30 ὃς τοῦτ’ ἐφέπεις ὄρος, εὐκάρποιο γαί-
book 1.30.1 ας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
book 1.30.2 κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
book 1.30.3 γείτονα, Πυθιάδος δ’ ἐν δρόμῳ κά-
book 1.32 ρυξ ἀνέειπέ νιν ἀγγέλ-
book 1.32.1 λων Ἱέρωνος ὑπὲρ καλλινίκου
book 1.32.2 ἅρμασι. ναυσιφορήτοις δ’ ἀνδράσι πˈρώτα χάρις
book 1.32.3 ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν
book 1.34 οὖρον· ἐοικότα γάρ
book 1.35.1 καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν, ὁ δὲ λόγος
book 1.35.2 ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει
book 1.35.3 λοιπὸν ἔσσεσθαι στεφάνοισί ν〈ιν〉 ἵπποις τε κˈλυτάν
book 1.35.4 καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.
book 1.35.5 Λύκιε καὶ Δάλοι’ ἀνάσσων
book 1.39 Φοῖβε Παρνασσοῦ τε κράναν Κασταλίαν φιλέων,
book 1.40 ⸏ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν.
book 1.1 ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
book 1.2 καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγˈλωσ-
book 1.42.1 σοί τ’ ἔφυν. ἄνδρα δ’ ἐγὼ κεῖνον
book 1.42.2 αἰνῆσαι μενοινῶν ἔλπομαι
book 1.42.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴ χαλκοπάραον ἄκονθ’ ὡσείτ’ ἀγῶ-
book 1.44 νος βαλεῖν ἔξω παλάμᾳ δονέων,
book 1.45.1 μακˈρὰ δὲ ῥῖψαις ἀμεύσασθ’ ἀντίους.
book 1.45.2 εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω
book 1.46 καὶ κτεάνων δόσιν εὐθύ-
book 1.46.1 νοι, καμάτων δ’ ἐπίλασιν παράσχοι·
book 1.46.2 ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις
book 1.46.3 τλάμονι ψυχᾷ παρέμειν’, ἁνίχ’ εὑρί-
book 1.48.1 σκοντο θεῶν παλάμαις τιμάν
book 1.48.2 οἵαν οὔτις Ἑλλάνων δρέπει
book 1 πλούτου στεφάνωμ’ ἀγέρωχον. νῦν γε μὰν
book 1.1 τὰν Φιλοκτήταο δίκαν ἐφέπων
book 1.2 ἐστρατεύθη· σὺν δ’ ἀνάγκᾳ νιν φίλον
book 1.3 καί τις ἐὼν μεγαλάνωρ ἔσανεν.
book 1.52 φαντὶ δὲ Λαμνόθεν ἕλκει
book 1.52.1 τειρόμενον μεταβάσοντας ἐλθεῖν
book 1.52.2 ἥροας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·
book 1.52.3 ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτα-
book 1.54 σέν τε πόνους Δαναοῖς,
book 1.55.1 ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοιρίδιον ἦν.
book 1.55.2 οὕτω δ’ Ἱέρωνι θε̣ὸς ὀρθωτὴρ πέλοι
book 1.55.3 τὸν προσέρποντα χˈρόνον, ὧν ἔραται και-
book 1.57.1 ρὸν διδούς.
book 1.57.2 Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
book 1.57.3 πίθεό μοι ποινὰν τεθρίππων·
book 1.59 χάρμα δ’ οὐκ ἀλλότˈριον νικαφορία πατέρος.
book 1.60 ⸏ἄγ’ ἔπειτ’ Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον·
book 1.1 τῷ πόλιν κείναν θεοδˈμάτῳ σὺν ἐλευθερίᾳ
book 1.2 Ὑλλίδος στάθˈμας Ἱέρων ἐν νόμοις ἔ-
book 1.62.1 κτισσε· θέλοντι δὲ Παμφύλου
book 1.62.2 καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
book 1.62.3 ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰ-
book 1.64 εὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ
book 1.65.1 Δωριεῖς. ἔσχον δ’ Ἀμύκˈλας ὄλβιοι
book 1.65.2 Πινδόθεν ὀρνύμενοι, λευκοπώλων
book 1.66 Τυνδαριδᾶν βαθύδοξοι
book 1.66.1 γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.
book 1.66.2 Ζεῦ τέλει’, αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ’ ὕδωρ
book 1.66.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακˈρί-
νειν ἔτυμον λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
υἱῷ τ’ ἐπιτελλόμενος, δᾶμον γεραί-
ρων τράποι σύμφωνον ἐς ἡσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἥμερον
ὄφˈρα κατ’ οἶκον ὁ Φοίνιξ ὁ Τυρσα-
νῶν τ’ ἀλαλατὸς ἔχῃ, ναυ-
σίστονον ὕβˈριν ἰδὼν τὰν πρὸ Κύμας,
οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,
ὠκυπόρων ἀπὸ ναῶν ὅ σφιν ἐν πόν-
τῳ βάλεθ’ ἁλικίαν,
Ἑλλάδ’ ἐξέλκων βαρείας δουλίας. ἀρέομαι
πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν
μισθόν, ἐν Σπάρτᾳ δ’ 〈ἀπὸ〉 τᾶν πρὸ Κιθαιρῶ-
νος μαχᾶν,
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,
παρ〈ὰ〉 δὲ τὰν εὔυδˈρον ἀκτὰν
Ἱμέρα παίδεσσιν ὕμνον Δεινομένεος τελέσαις,
‿—τὸν ἐδέξαντ’ ἀμφ’ ἀρετᾷ, πολεμίων ἀνδρῶν καμόντων.
καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώ-
πων· ἀπὸ γὰρ κόρος ἀμβλύνει
αἰανὴς ταχείας ἐλπίδας,
ἀστῶν δ’ ἀκοὰ κρύφιον θυμὸν βαρύ-
νει μάλιστ’ ἐσλοῖσιν ἐπ’ ἀλλοτρίοις.
ἀλλ’ ὅμως, κρέσσον γὰρ οἰκτιρμοῦ φθόνος,
μὴ παρίει καλά. νώμα δικαίῳ
πηδαλίῳ στρατόν· ἀψευ-
δεῖ δὲ πρὸς ἄκˈμονι χάλκευε γλῶσσαν.
εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται,
πὰρ σέθεν. πολλῶν ταμίας ἐσσί· πολλοὶ
μάρτυρες ἀμφοτέροις πιστοί.
εὐανθεῖ δ’ ἐν ὀργᾷ παρμένων,
εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰ-
εὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·
ἐξίει δ’ ὥσπερ κυβερνάτας ἀνήρ
ἱστίον ἀνεμόεν {πετάσαις}. μὴ δολωθῇς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὦ φίλε, κέρδεσιν ἐντραπέ-
book 1.92.1 λοις· ὀπιθόμβροτον αὔχημα δόξας
book 1.92.2 οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει
book 1.92.3 καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροί-
book 1.94 σου φιλόφρων ἀρετά.
book 1.95.1 τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον
book 1.95.2 ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,
book 1.95.3 οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινανίαν
book 1.95.4 μαλθακὰν παίδων ὀάροισι δέκονται.
book 1.95.5 τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων·
book 1.99 εὖ δ’ ἀκούειν δευτέρα μοῖρ’· ἀμφοτέροισι δ’ ἀνήρ
book 1 ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ, στέφανον ὕψιστον δέδεκται.
book 2 .
book 2.2.1 μᾶν δαιμόνιαι τροφοί,
book 2.2.2 ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν φέρων
book 2.2.3 μέλος ἔρχομαι ἀγγελίαν τετραορίας ἐλελίχθονος,
book 2.5.1 εὐάρματος Ἱέρων ἐν ᾇ κρατέων
book 2.5.2 τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις,
book 2.5.3 ποταμίας ἕδος Ἀρτέμιδος, ᾇς οὐκ ἄτερ
book 2.5.4 κείνας ἀγαναῖσιν ἐν χερσὶ ποικιλα-
book 2.8.1 νίους ἐδάμασσε πώλους.
book 2.8.2 ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ
book 2.10 ὅ τ’ ἐναγώνιος Ἑρμᾶς αἰγλάεντα τίθησι κόσ-
book 2.10.1 μον, ξεστὸν ὅταν δίφρον
book 2.10.2 ἔν θ’ ἅρματα πεισιχάλινα καταζευγνύῃ
book 2.10.3 σθένος ἵππιον, ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν.
book 2.10.4 ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνήρ
book 2.10.5 εὐαχέα βασιλεῦσιν ὕμνον ἄποιν’ ἀρετᾶς.
book 2.15.1 κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις
book 2.15.2 φᾶμαι Κυπρίων, τὸν ὁ χ῾ρυσοχαῖτα προ-
book 2.16.1 φ῾ρόνως ἐφίλης’ Ἀπόλλων,
book 2.16.2 ἱερέα κτίλον Ἀφ῾ροδίτας· ἄγει δὲ χάρις
book 2.17.1 φίλων ποί τινος ἀντὶ ἔργων ὀπιζομένα·
book 2.17.2 σὲ δ’, ὦ Δεινομένειε παῖ, Ζεφυρία πρὸ δόμων
book 2.17.3 Λοκρὶς παρθένος ἀπύει,
book 2.19 πολεμίων καμάτων ἐξ ἀμαχάνων
book 2.20.1 διὰ τεὰν δύναμιν δρακεῖς’ ἀσφαλές·
book 2.20.2 θεῶν δ’ ἐφετ῾μαῖς Ἰξίονα φαντὶ ταῦτα β῾ροτοῖς
book 2.20.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγειν ἐν πτερόεντι τ˙ροχῷ
book 2.20.4 παντᾷ κυλινδόμενον·
book 2.20.5 τὸν εὐεργέταν ἀγαναῖς
book 2.24 ⸏ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι.
book 2.25.1 ἔμαθε δὲ σαφές. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις
book 2.25.2 γλυκὺν ἑλὼν βίοτον, μακ˙ρὸν οὐχ ὑπέμεινεν ὄλ-
book 2.26.1 βον, μαινομέναις φρασίν
book 2.26.2 Ἥρας ὅτ’ ἐράσσατο, τὰν Διὸς εὐναὶ λάχον
book 2.26.3 πολυγαθέες· ἀλλά νιν ὕβ˙ρις εἰς ἀυάταν ὑπεράφανον
book 2.26.4 ὦρσεν· τάχα δὲ παθὼν ἐοικότ’ ἀνήρ
book 2.30.1 ἐξαίρετον ἕλε μόχθον. αἱ δύο δ’ ἀμπλακίαι
book 2.30.2 φερέπονοι τελέθοντι· τὸ μὲν ἥρως ὅτι
book 2.30.3 ἐμφύλιον αἷμα πρώτιστος οὐκ ἄτερ
book 2.32.1 τέχνας ἐπέμειξε θνατοῖς,
book 2.32.2 ὅτι τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις
book 2.32.3 Διὸς ἄκοιτιν ἐπειρᾶτο. χρὴ δὲ κατ’ αὐτὸν αἰ-
book 2.34 εὶ παντὸς ὁρᾶν μέτρον.
book 2.35.1 εὐναὶ δὲ παράτ˙ροποι ἐς κακότατ’ ἀθ˙ρόαν
book 2.35.2 ἔβαλον· ποτὶ καὶ τὸν ἵκοντ’· ἐπεὶ
book 2.36.1 νεφέλᾳ παρελέξατο
book 2.36.2 ψεῦδος γλυκὺ μεθέπων ἄϊδ˙ρις ἀνήρ
book 2.36.3 εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν Οὐρανιᾶν
book 2.36.4 θυγατέρι Κ˙ρόνου· ἅντε δόλον αὐτῷ θέσαν
book 2.40 Ζηνὸς παλάμαι, καλὸν πῆμα. τὸν δὲ τε-
book 2.40.1 τ˙ράκναμον ἔπραξε δεσμόν
book 2.40.2 ἑὸν ὄλεθ˙ρον ὅγ’· ἐν δ’ ἀφύκτοισι γυιοπέδαις
book 2.41.1 πεσὼν τὰν πολύκοινον ἀνδέξατ’ ἀγγελίαν.
book 2.41.2 ἄνευ οἱ Χαρίτων τέκεν γόνον ὑπερφίαλον
book 2.41.3 μόνα καὶ μόνον οὔτ’ ἐν ἀν-
book 2.43.1 δράσι γερασφόρον οὔτ’ ἐν θεῶν νόμοις·
book 2.43.2 τὸν ὀνύμαζε τράφοισα Κένταυρον, ὅς
book 2.45 ἵπποισι Μαγ˙νητίδεσσιν ἐμείγνυτ’ ἐν Παλίου
book 2.1 σφυροῖς, ἐκ δ’ ἐγένοντο στρατός
book 2.2 θαυμαστός, ἀμφοτέροις
book 2.3 ὁμοῖοι τοκεῦσι, τὰ μα-
book 2.48 ⸏τρόθεν μὲν κάτω, τὰ δ’ ὕπερθε πατ˙ρός.
book 2 θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκ˙μαρ ἀνύεται,
book 2 θεός, ὃ καὶ πτερόεντ’ αἰετὸν κίχε, καὶ θαλασ-
book 2.1

σαῖον παραμείβεται
book 2.2 δελφῖνα, καὶ ὑψιφρόνων τιν᾽ ἔκαμψε β᾽ροτῶν,
book 2.3 ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ᾽· ἐμὲ δὲ χ᾽ρεών
book 2.4 φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.
book 2.5 εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλλ᾽ ἐν ἀμαχανίᾳ
book 2.55.1 ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν
book 2.55.2 πιαινόμενον· τὸ πλουτεῖν δὲ σὺν τύχᾳ
book 2.56.1 πότ᾽μου σοφίας ἄριστον.
book 2.56.2 τὺ δὲ σάφα νιν ἔχεις ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,
book 2.56.3 πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυι-
book 2.58.1 ᾶν καὶ στρατοῦ. εἰ δέ τις
book 2.58.2 ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει
book 2.60.1 ἕτερόν τιν᾽ ἀν᾽ Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον,
book 2.60.2 χαύνᾳ πραπίδι παλαιμονεῖ κενεά.
book 2.60.3 εὐανθέα δ᾽ ἀναβάσομαι στόλον ἀμφ᾽ ἀρετᾷ
book 2.60.4 κελαδέων. νεότατι μὲν ἀρήγει θράσος
book 2.60.5 δεινῶν πολέμων· ὅθεν φαμὶ καὶ σὲ τὰν
book 2.64 ἀπείρονα δόξαν εὑρεῖν,
book 2.65 τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον,
book 2.65.1 τὰ δ᾽ ἐν πεζομάχαισι· βουλαὶ δὲ πρεσβύτεραι
book 2.65.2 ἀκίνδυνον ἐμοὶ ἔπος 〈σὲ〉 ποτὶ πάντα λόγον
book 2.65.3 ἐπαινεῖν παρέχοντι. χαῖ-
book 2.67.1 ρε· τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολάν
book 2.67.2 μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται·
book 2 τὸ Καστόρειον δ᾽ ἐν Αἰολίδεσσι χορδαῖς θέλων
book 2.70.1 ἄθρησον χάριν ἑπτακτύπου
book 2.70.2 φόρμιγγος ἀντόμενος.
book 2.70.3 γένοι᾽, οἷος ἐσσὶ μαθών.
book 2.72 —καλός τοι πίθων παρὰ παισίν, αἰεί
book 2.1 καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν
book 2.2 ἔλαχε καρπὸν ἀμώμητον, οὐδ᾽ ἀπάταισι θυ-
book 2.74 μὸν τέρπεται ἔνδοθεν,
book 2.75.1 οἷα ψιθύρων παλάμαις ἕπετ᾽ αἰεὶ βροτῷ.
book 2.75.2 ἄμαχον κακὸν ἀμφοτέροις διαβολιᾶν ὑποφάτιες,
book 2.75.3 ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
book 2.75.4 κέρδει δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει;
book 2.75.5 ἅτε γὰρ ἐννάλιον πόνον ἐχοίσας βαθύν
book 2.80 σκευᾶς ἑτέρας, ἀβάπτιστος εἶμι φελ-
book 2.80.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λὸς ὣς ὑπὲρ ἕρκος ἅλμας.
book 2.80.2 ἀδύνατα δ’ ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς
book 2.80.3 δόλιον ἀστόν· ὅμως μὰν σαίνων ποτὶ πάντας ἄ-
book 2.82.1 ταν πάγχυ διαπ᾽λέκει.
book 2.82.2 οὔ οἱ μετέχω θράσεος. φίλον εἴη φιλεῖν·
book 2.82.3 ποτὶ δ’ ἐχθρὸν ἅτ’ ἐχθρὸς ἐὼν λύκοιο
book 2.84 δίκαν ὑποθεύσομαι,
book 2.85.1 ἄλλ’ ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.
book 2.85.2 ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,
book 2.85.3 παρὰ τυραννίδι, χὠπόταν ὁ λάβ᾽ρος στρατός,
book 2.85.4 χὤταν πόλιν οἱ σοφοὶ τηρέωντι. χρὴ
book 2.88.1 δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,
book 2.88.2 ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ’ αὖθ’ ἑτέροις
book 2.89 ἔδωκεν μέγα κῦδος. ἀλλ’ οὐδὲ ταῦτα νόον
book 2.90.1 ἰαίνει φθονερῶν· στάθμας δέ τινες ἑλκόμενοι
book 2.90.2 περισσᾶς ἐνέπαξαν ἕλ-
book 2.91.1 κος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,
book 2.91.2 πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν.
book 2.91.3 φέρειν δ’ ἐλαφ᾽ρῶς ἐπαυχένιον λαβόντα ζυγόν
book 2.91.4 ἀρήγει· ποτὶ κέντρον δέ τοι
book 2.95.1 λακτιζέμεν τελέθει
book 2.95.2 ὀλισθηρὸς οἶμος· ἁδόν-
book 2.96 τα δ’ εἴη με τοῖς ἀγαθοῖς ὁμιλεῖν.
book 3 .
book 3.2.1 κοινὸν εὔξασθαι ἔπος,
book 3.2.2 ζώειν τὸν ἀποιχόμενον,
book 3.2.3 Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου,
book 3.4 βάσσαισί τ’ ἄρχειν Παλίου φῆρ’ ἀγ᾽ρότερον
book 3.5.1 νόον ἔχοντ’ ἀνδρῶν φίλον· οἷος ἐὼν θρέψεν ποτέ
book 3.5.2 τέκτονα νωδυνίας
book 3.6.1 ἥμερον γυιαρκέος Ἀσκλαπιόν,
book 3.6.2 ἥροα παντοδαπᾶν ἀλκτῆρα νούσων.
book 3.6.3 τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ
book 3.6.4 πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυί-
book 3.9 ᾳ, δαμεῖσα χ᾽ρυσέοις
book 3.10.1 τόξοισιν ὕπ’ Ἀρτέμιδος
book 3.10.2 εἰς Ἀΐδα δόμον ἐν θαλάμῳ κατέβα,
book 3.11 τέχ᾽ναις Ἀπόλλωνος. χόλος δ’ οὐκ ἀλίθιος
book 3.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γίνεται παίδων Διός. ἁ δ’ ἀποφλαυρίξαισά νιν
book 3.2 ἀμπλακίαισι φρενῶν,
book 3.13.1 ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός,
book 3.13.2 πρόσθεν ἀκερσεκόμᾳ μιχθεῖσα Φοίβῳ,
book 3.15.1 καὶ φέροισα σπέρμα θεοῦ καθαρόν
book 3.15.2 οὐκ ἔμειν’ ἐλθεῖν τράπεζαν νυμφίαν,
book 3.15.3 οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων, ἅλικες
book 3.15.4 οἷα παρθένοι φιλέοισιν ἑταῖραι
book 3.15.5 ἑσπερίαις ὑποκουρίζεσθ’ ἀοιδαῖς· ἀλλά τοι
book 3.20.1 ἤρατο τῶν ἀπεόντων· οἷα καὶ πολλοὶ πάθον.
book 3.20.2 ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,
book 3.20.3 ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,
book 3.20.4 —μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.
book 3 ἔσχε τοι ταύταν μεγάλαν ἀυάταν
book 3.25 καλλιπέπ᾽λου λῆμα Κορωνίδος· ἐλθόν-
book 3.25.1 τος γὰρ εὐνάσθη ξένου
book 3.25.2 λέκτροισιν ἀπ’ Ἀρκαδίας.
book 3.25.3 οὐδ’ ἔλᾰθε σκοπόν· ἐν δ’ ἄρα μηλοδόκῳ
book 3.25.4 Πυθῶνι τόσσαις ἄϊεν ναοῦ βασιλεύς
book 3.25.5 Λοξίας, κοινᾶνι παρ’ εὐθυτάτῳ γνώμαν πιθών,
book 3.30 πάντα ἰσάντι νόῳ·
book 3.29 ψευδέων δ’ οὐχ ἅπτεται, κλέπτει τέ μιν
book 3.30.1 οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.
book 3.30.2 καὶ τότε γ᾽νοὺς Ἴσχυος Εἰλατίδα
book 3.30.3 ξεινίαν κοίταν ἄθεμίν τε δόλον, πέμ-
book 3.32.1 ψεν κασιγ᾽νήταν μένει
book 3.32.2 θυίοισαν ἀμαιμακέτῳ
book 3.32.3 ἐς Λακέρειαν, ἐπεὶ παρὰ Βοιβιάδος
book 3.34 κρημνοῖσιν ᾤκει παρθένος· δαίμων δ’ ἕτερος
book 3.35.1 ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν, καὶ γειτόνων
book 3.35.2 πολλοὶ ἐπαῦρον, ἁμᾶ
book 3.36.1 δ’ ἔφθαρεν· πολλὰν δ’ {ἐν} ὄρει πῦρ ἐξ ἑνός
book 3.36.2 σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.
book 3.36.3 ἀλλ’ ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
book 3.36.4 σύγγονοι κούραν, σέλας δ’ ἀμφέδ᾽ραμεν
book 3.40.1 λάβ᾽ρον Ἁφαίστου, τότ’ ἔειπεν Ἀπόλλων· ‘Οὐκέτι
book 3.40.2 τλάσομαι ψυχᾷ γένος ἁμὸν ὀλέσσαι
book 3.40.3 οἰκτροτάτῳ θανάτῳ ματρὸς βαρείᾳ σὺν πάθᾳ.‘
book 3.40.4

ὣς φάτο· βάματι δ’ ἐν πρώτῳ κιχὼν παῖδ’ ἐκ νεκροῦ
book 3.40.5 ἅρπασε· καιομένα δ’ αὐτῷ διέφαινε πυρά.
book 3.45.1 καί ῥά νιν Μάγˈνητι φέρων πόρε Κενταύρῳ διδάξαι
book 3.45.2 ‿—πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.
book 3.1 τοὺς μὲν ὦν, ὅσσοι μόλον αὐτοφύτων
book 3.2 ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλκῷ μέλη τετˈρωμένοι
book 3.3 ἢ χερμάδι τηλεβόλῳ,
book 3 ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ
book 3.1 χειμῶνι, λύσαις ἄλλον ἀλλοίων ἀχέων
book 3.2 ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,
book 3.3 τοὺς δὲ προσανέα πί-
book 3.52.1 νοντας, ἢ γυίοις περάπτων πάντοθεν
book 3.52.2 φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς·
book 3.52.3 ἀλλὰ κέρδει καὶ σοφία δέδεται.
book 3.55 ἔτˈραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ
book 3.55.1 χρυσὸς ἐν χερσὶν φανείς
book 3.55.2 ἄνδρ’ ἐκ θανάτου κομίσαι
book 3.55.3 ἤδη῾ἁλωκότα· χερσὶ δ’ ἄρα Κˈρονίων
book 3.57.1 ῥίψαις δι’ ἀμφοῖν ἀμπνοὰν στέρνων κάθελεν
book 3.57.2 ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον.
book 3.57.3 χρὴ τὰ ἐοικότα πὰρ
book 3.59 δαιμόνων μαστευέμεν θναταῖς φρασίν
book 3.60.1 γνόντα τὸ πὰρ ποδός, οἵας εἰμὲν αἴσας.
book 3.60.2 μή, φίλα ψυχά, βίον ἀθάνατον
book 3.60.3 σπεῦδε, τὰν δ’ ἔμπρακτον ἄντλει μαχανάν.
book 3.60.4 εἰ δὲ σώφρων ἄντρον ἔναι’ ἔτι Χίρων, καί τί οἱ
book 3.60.5 φίλτρον 〈ἐν〉 θυμῷ μελιγάρυες ὕμνοι
book 3.65.1 ἁμέτεροι τίθεν, ἰατῆρά τοί κέν νιν πίθον
book 3.65.2 καί νυν ἐσ͡λο͡ῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων
book 3.65.3 ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.
book 3.65.4 καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τάμνων θάλασσαν
book 3.65.5 ‿—Ἀρέθοισαν ἐπὶ κˈράναν παρ’ Αἰτναῖον ξένον,
book 3.70.1 ὃς Συρακόσσαισι νέμει βασιλεύς,
book 3.70.2 πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξεί-
book 3.71.1 νοις δὲ θαυμαστὸς πατήρ.
book 3.71.2 τῷ μὲν διδύμας χάριτας
book 3.71.3 εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν
book 3.73.1 κῶμόν τ’ ἀέθˈλων Πυθίων αἴγλαν στεφάνοις,
book 3.73.2

τοὺς ἀριστεύων Φερένικος ἕλεν Κίρρᾳ ποτέ,
book 3.75 ἀστέρος οὐρανίου
book 3.75.1 φαμὶ τηλαυγέστερον κείνῳ φάος
book 3.75.2 ἐξικόμαν κε βαθὺν πόντον περάσαις.
book 3.75.3 ἀλλ’ ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω
book 3.75.4 Ματρί, τὰν κοῦραι παρ’ ἐμὸν πρόθυρον σὺν
book 3.78.1 Πανὶ μέλπονται θαμά
book 3.78.2 σεμνὰν θεὸν ἐννύχιαι.
book 3.80 εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων,
book 3.80.1 ὀρθὰν ἐπίστᾳ, μανθάνων οἶσθα π˙ροτέρων
book 3.80.2 ἓν παρ’ ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς
book 3.80.3 ἀθάνατοι. τὰ μὲν ὦν
book 3.82.1 οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
book 3.82.2 ἀλλ’ ἀγαθοί, τὰ καλὰ τ˙ρέψαντες ἔξω.
book 3.82.3 τὶν δὲ μοῖρ’ εὐδαιμονίας ἕπεται.
book 3.85.1 λαγέταν γάρ τοι τύραννον δέρκεται,
book 3.85.2 εἴ τιν’ ἀνθρώπων, ὁ μέγας πότμος. αἰὼν δ’ ἀσφαλής
book 3.85.3 οὐκ ἔγεντ’ οὔτ’ Αἰακίδᾳ παρὰ Πηλεῖ
book 3.85.4 οὔτε παρ’ ἀντιθέῳ Κάδ˙μῳ· λέγονται {γε} μὰν βροτῶν
book 3.85.5 ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε καὶ χρυσαμπύκων
book 3.90.1 μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις
book 3.90.2 ἄϊον Θήβαις, ὁπόθ’ Ἁρμονίαν γᾶμεν βοῶπιν,
book 3.90.3 ⸏ὁ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κ˙λυτάν,
book 3.1 καὶ θεοὶ δαίσαντο παρ’ ἀμφοτέροις,
book 3.2 καὶ Κρόνου παῖδας βασιλῆας ἴδον χρυ-
book 3.94 ςέαις ἐν ἕδ˙ραις, ἕδ˙να τε
book 3.95.1 δέξαντο· Διὸς δὲ χάριν
book 3.95.2 ἐκ προτέρων μεταμειψάμενοι καμάτων
book 3.96.1 ἔστασαν ὀρθὰν καρδίαν. ἐν δ’ αὖτε χρόνῳ
book 3.96.2 τὸν μὲν ὀξείαισι θύγατ˙ρες ἐρήμωσαν πάθαις
book 3.96.3 εὐφροσύνας μέρος αἱ
book 3.98.1 τρεῖς· ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατήρ
book 3.98.2 ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.
book 3.1 τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα
book 3.2 τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ τό-
book 3.101.1 ξοις ἀπὸ ψυχὰν λιπών
book 3.101.2 ὦρσεν πυρὶ καιόμενος
book 3.101.3 ἐκ Δαναῶν γόον. εἰ δὲ νόῳ τις ἔχει
book 3.103.1

θνατῶν ἀλαθείας ὁδόν, χρὴ πρὸς μακάρων
book 3.103.2 τυγχάνοντ’ εὖ πασχέμεν. ἄλλοτε δ’ ἀλλοῖαι πνοαί
book 3.105 ὑψιπετᾶν ἀνέμων.
book 3.105 ὄλβος {δ’} οὐκ ἐς μακˈρὸν ἀνδρῶν ἔρχεται
book 3.1 ς͜άος, πολὺς εὖτ’ ἂν ἐπιβˈρίσαις ἕπηται.
book 3.2 σμικˈρὸς ἐν σμικˈροῖς, μέγας ἐν μεγάλοις
book 3.3 ἔσσομαι, τὸν δ’ ἀμφέποντ’ αἰεὶ φρασίν
book 3.4 δαίμον’ ἀσκήσω κατ’ ἐμὰν θεραπεύων μαχανάν.
book 3.110.1 εἰ δέ μοι πλοῦτον θεὸς ἁβˈρὸν ὀρέξαι,
book 3.110.2 ἐλπίδ’ ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.
book 3.110.3 Νέστορα καὶ Λύκιον Σαρπηδόν’, ἀνθρώπων φάτῖς,
book 3.110.4 ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοί
book 3.110.5 ἅρμοσαν, γινώσκομεν· ἁ δ’ ἀρετὰ κλειναῖς ἀοιδαῖς
book 3.115 χρονία τελέθει· παύροις δὲ πράξασθ’ εὐμαρές.
book 4 .
book 4.2.1 ὄφˈρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,
book 4.2.2 Μοῖσα, Λατοΐδαισιν ὀφειλόμενον Πυ-
book 4.3.1 θῶνί τ’ αὔξῃς οὖρον ὕμνων,
book 4.3.2 ἔνθα ποτὲ χˈρυσέων Διὸς αἰετῶν πάρεδˈρος
book 4.5.1 οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος ἱέρεα
book 4.5.2 χρῆσεν οἰκιστῆρα Βάττον
book 4.6.1 καρποφόρου Λιβύας, ἱεράν
book 4.6.2 νᾶσον ὡς ἤδη λιπὼν κτίσσειεν εὐάρματον
book 4.6.3 πόλιν ἐν ἀργεννόεντι μαστῷ,
book 4.6.4 καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι
book 4.10 ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θή-
book 4.10.1 ραιον, Αἰήτα τό ποτε ζαμενής
book 4.10.2 παῖς ἀπέπˈνευς’ ἀθανάτου στόματος, δέσ-
book 4.11 ποινα Κόλχων. εἶπε δ’ οὕτως
book 4.1 ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις·
book 4.2 ‘Κέκˈλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν·
book 4.3 φαμὶ γὰρ τᾶσδ’ ἐξ ἁλιπˈλά-
book 4.14 κτου ποτὲ γᾶς Ἐπάφοιο κόραν
book 4.15.1 ἀστέων ῥίζαν φυτεύσεσθαι μελησιμβρότων
book 4.15.2 Διὸς ἐν Ἄμμωνος θεμέθˈλοις.
book 4.15.3 ἀντὶ δελφίνων δ’ ἐλαχυπτερύγων ἵπ-
book 4.17.1 πους ἀμείψαντες θοάς,
book 4.17.2 ἁνία τ’ ἀντ’ ἐρετμῶν δί-
book 4.18.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φˈρους τε νωμάσοισιν ἀελλόποδας.
book 4.18.2 κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων
book 4.20 ματρόπολιν Θήραν γενέσθαι, τόν ποτε
book 4.20.1 Τˈριτωνίδος ἐν προχοαῖς
book 4.20.2 λίμνας θεῷ ἀνέρι εἰδομένῳ γαῖαν διδόντι
book 4.20.3 ξείνια πˈρῴραθεν Εὔφαμος καταβαίς
book 4.20.4 δέξατ’—αἰσίαν δ’ ἐπί οἱ Κρονίων
book 4.23 ‿Ζεὺς πατὴρ ἔκˈλαγξε βροντάν—,
book 4 ἁνίκ’ ἄγκυραν ποτὶ χαλκόγενυν
book 4.25 ναΐ κριμνάντων ἐπέτοσσε, θοᾶς Ἀρ-
book 4.25.1 γοῦς χαλινόν· δώδεκα δὲ πˈρότερον
book 4.25.2 ἁμέρας ἐξ Ὠκεανοῦ φέρομεν νώ-
book 4.26.1 των ὕπερ γαίας ἐρήμων
book 4.26.2 ἐννάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἁμοῖς.
book 4.26.3 τουτάκι δ’ οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν
book 4.26.4 ἀνδρὸς αἰδοίου πρόσοψιν
book 4.29 θηκάμενος· φιλίων δ’ ἐπέων
book 4.30.1 ἄρχετο, ξείνοις ἅ τ’ ἐλθόντεσσιν εὐεργέται
book 4.30.2 δεῖπν’ ἐπαγγέλλοντι πρῶτον.
book 4.30.3 ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
book 4.30.4 κώλυεν μεῖναι. φάτο δ’ Εὐρύπυλος Γαι-
book 4.33.1 αόχου παῖς ἀφθίτου Ἐννοσίδα
book 4.33.2 ἔμμεναι· γίνωσκε δ’ ἐπειγομένους· ἂν
book 4.34 δ’ εὐθὺς ἁρπάξαις ἀρούρας
book 4.35.1 δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι,
book 4.35.2 οὐδ’ ἀπίθησέ ἱν, ἀλλ’ ἥρως ἐπ’ ἀκταῖσιν θορών,
book 4.35.3 χειρί οἱ χεῖρ’ ἀντερείσαις
book 4.37.1 δέξατο βώλακα δαιμονίαν.
book 4.37.2 πεύθομαι δ’ αὐτὰν κατακˈλυσθεῖσαν ἐκ δούρατος
book 4.37.3 ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ
book 4.40 ἑσπέρας ὑγˈρῷ πελάγει σπομέναν. ἦ
book 4.40.1 μάν νιν ὤτρυνον θαμά
book 4.40.2 λυσιπόνοις θεραπόντεσ-
book 4.41.1 σιν φυλάξαι· τῶν δ’ ἐλάθοντο φρένες
book 4.41.2 καί νυν ἐν τᾷδ’ ἄφθιτον νάσῳ κέχυται Λιβύας
book 4.41.3 εὐρυχόρου σπέρμα πˈρὶν ὥρας. εἰ γὰρ οἴ-
book 4.43.1 κοι νιν βάλε πὰρ χθόνιον
book 4.43.2 ◌‿Ἀίδ‿α στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,
book 4.45.1

υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,
book 4.45.2 τόν ποτ’ Εὐρώπα Τιτυοῦ θυγάτηρ
book 4.46 ⸏τίκτε Καφισοῦ παρ’ ὄχθαις,
book 4.1 τετˈράτων παίδων κ’ ἐπιγεινομένων
book 4.2 αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς εὐ-
book 4.48.1 ρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας
book 4.48.2 ἐξανίστανται Λακεδαίμονος Ἀργεί-
book 4.49 ου τε κόλπου καὶ Μυκηνᾶν.
book 4.1 νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν
book 4.2 ἐν λέχεσιν γένος, οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν
book 4.3 νᾶσον ἐλθόντες τέκωνται
book 4.52.1 φῶτα κελαινεφέων πεδίων
book 4.52.2 δεσπόταν· τὸν μὲν πολυχˈρύσῳ ποτ’ ἐν δώματι
book 4 Φοῖβος ἀμνάσει θέμισσιν
book 4.55.1 Πύθιον ναὸν καταβάντα χρόνῳ
book 4.55.2 ὑστέρῳ, νάεσσι πολεῖς ἀγαγὲν Νεί-
book 4.56.1 λοιο πρὸς πῖον τέμενος Κρονίδα.‘
book 4.56.2 ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔπτα-
book 4.57.1 ξαν δ’ ἀκίνητοι σιωπᾷ
book 4.57.2 ἥροες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες.
book 4.57.3 ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ’ ἐν τούτῳ λόγῳ
book 4.60 χρησμὸς ὤρθωσεν μελίσσας
book 4.60.1 Δελφίδος αὐτομάτῳ κελάδῳ·
book 4.60.2 ἅ σε χαίρειν ἐστρὶς αὐδάσαισα πεπˈρωμένον
book 4.60.3 βασιλέ’ ἄμφανεν Κυράνᾳ,
book 4.60.4 δυσθρόου φωνᾶς ἀνακρινόμενον ποι-
book 4.63.1 νὰ τίς ἔσται πρὸς θεῶν.
book 4.63.2 ἦ μάλα δὴ μετὰ καὶ νῦν,
book 4.64 ὥτε φοινικανθέμου ἦρος ἀκμᾷ,
book 4.65.1 παισὶ τούτοις ὄγδοον θάλλει μέρος Ἀρκεσίλας·
book 4.65.2 τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ
book 4.66.1 ἀμφικτιόνων ἔπορεν
book 4.66.2 ἱπποδˈρομίας. ἀπὸ δ’ αὐτὸν ἐγὼ Μοίσαισι δώσω
book 4.66.3 καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γάρ
book 4.66.4 κεῖνο πλευσάντων Μινυᾶν, θεόπομ-
book 4.69 ⸏ποί σφισιν τιμαὶ φύτευθεν.
book 4.70.1 τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας,
book 4.70.2 τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος
book 4.71.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δῆσεν ἅλοις; θέσφατον ἦν Πελίαν
book 4.71.2 ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χεί-
book 4.72.1 ρεσσιν ἢ βουλαῖς ἀκνάμπτοις.
book 4.72.2 ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ,
book 4 πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος
book 4.75 τὸν μονοκˈρήπιδα πάντως
book 4.75.1 ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,
book 4.75.2 εὖτ’ ἂν αἰπεινῶν ἀπὸ σταθˈμῶν ἐς εὐδείελον
book 4.75.3 χθόνα μόλῃ κλειτᾶς Ἰα͜ολ͜κοῦ,
book 4.75.4 ξεῖνος αἴτ’ ὦν ἀστός. ὁ δ’ ἦρα χρόνῳ
book 4.75.5 ἵκετ’ αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκ-
book 4.79 παγˈλος· ἐσθὰς δ’ ἀμφοτέρα νιν ἔχεν,
book 4.80 ἅ τε Μαγˈνήτων ἐπιχώριος ἁρμό-
book 4.80.1 ζοισα θαητοῖσι γυίοις,
book 4.80.2 ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φˈρίσσοντας ὄμβρους·
book 4.80.3 οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ’ ἀγˈλαοί,
book 4.80.4 ἀλλ’ ἅπαν νῶτον καταίθυσ-
book 4.83.1 σον. τάχα δ’ εὐθὺς ἰὼν σφετέρας
book 4.83.2 ἐστάθη γνώμας ἀταρβάκτοιο πειρώμενος
book 4.85.1 ἐν ἀγορᾷ πλήθοντος ὄχˈλου.
book 4.85.2 τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ’ ἔμ-
book 4.86.1 πας τις εἶπεν καὶ τόδε·
book 4.86.2 ‘Οὔ τί ποῢ οὗτος Ἀπόλλων,
book 4.87.1 οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
book 4.87.2 Ἀφˈροδίτας· ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ
book 4.87.3 Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σέ, τολ-
book 4.89 μάεις Ἐπιάλτα ἄναξ.
book 4.90.1 καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν,
book 4.90.2 ἐξ ἀνικάτου φαρέτˈρας ὀρνύμενον,
book 4.90.3 ὄφˈρα τις τᾶν ἐν δυνατῷ φιλοτά-
book 4.92 ‿των ἐπιψαύειν ἔραται.‘
book 4.1 τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
book 4.2 γάρυον τοιαῦτ’· ἀνὰ δ’ ἡμιόνοις ξε-
book 4.94 στᾷ τ’ ἀπήνᾳ προτˈροπάδαν Πελίας
book 4.95 ἵκετο σπεύδων· τάφε δ’ αὐτίκα παπτά-
book 4.95.1 ναις ἀρίγˈνωτον πέδιλον
book 4.95.2 δεξιτερῷ μόνον ἀμφὶ ποδί. κˈλέπτων δὲ θυμῷ
book 4.95.3 δεῖμα προσήνεπε· ‘Ποίαν γαῖαν, ὦ ξεῖν’, εὔχεαι
book 4.95.4

πατˈρίδ’ ἔμμεν; καὶ τίς ἀνθρώ-
book 4.98.1 πων σε χαμαιγενέων πολιᾶς
book 4.98.2 ἐξανῆκεν γαστρός; ἐχθίστοισι μὴ ψεύδεσιν
book 4.1 καταμιάναις εἰπὲ γένναν.‘
book 4.2 τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις
book 4.3 ὧδ’ ἀμείφθη· ‘Φαμὶ διδασκαλίαν Χί-
book 4.102.1 ρωνος οἴσειν. ἀντρόθε γὰρ νέομαι
book 4.102.2 πὰρ Χαρικˈλοῦς καὶ Φιλύρας, ἵνα Κενταύ-
book 4.103.1 ρου με κοῦραι θρέψαν ἁγˈναί.
book 4.103.2 εἴκοσι δ’ ἐκτελέσαις ἐνιαυτοὺς οὔτε ἔργον
book 4.105.1 οὔτ’ ἔπος ἐντράπελον κείνοισιν εἰπὼν ἱκόμαν
book 4.105.2 οἴκαδ’, ἀρχαίαν κομίζων
book 4.106.1 πατˈρὸς ἐμοῦ, βασιλευομέναν
book 4.106.2 οὐ κατ’ αἶσαν, τάν ποτε Ζεὺς ὤπασεν λαγέτᾳ
book 4.106.3 Αἰόλῳ καὶ παισὶ τιμάν.
book 4.106.4 πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευ-
book 4.109 καῖς πιθήσαντα φˈρασίν
book 4.110.1 ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·
book 4.110.2 τοί μ’, ἐπεὶ πάμπρωτον εἶδον φέγγος, ὑπερφιάλου
book 4.110.3 ἁγεμόνος δείσαντες ὕβˈριν, κᾶδος ὡσ-
book 4.112.1 εἴτε φθιμένου δνοφερόν
book 4.112.2 ἐν δώμασι θηκάμενοι μίγα κωκυτῷ γυναικῶν,
book 4.112.3 κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις,
book 4.115 νυκτὶ κοινάσαντες ὁδόν, Κρονίδᾳ
book 4.115 —δὲ τˈράφεν Χίρωνι δῶκαν.
book 4.1 ἀλλὰ τούτων μὲν κεφάλαια λόγων
book 4.2 ἴστε. λευκίππων δὲ δόμους πατέρων, κε-
book 4.117.1 δˈνοὶ πολῖται, φράσσατέ μοι σαφέως·
book 4.117.2 Αἴσονος γὰρ παῖς ἐπιχώριος οὐ ξεί-
book 4.118.1 ναν ἱκάνω γαῖαν ἄλλων.
book 4.118.2 φὴρ δέ με θεῖος ’Ιάσονα κικˈλήσκων προσαύδα.‘
book 4.120.1 ὣς φάτο· τὸν μὲν ἐσελθόντ’ ἔγˈνον ὀφθαλμοὶ πατρός·
book 4.120.2 ἐκ δ’ ἄρ’ αὐτοῦ πομφόλυξαν
book 4.121.1 δάκˈρυα γηραλέων γλεφάρων,
book 4.121.2 ἂν περὶ ψυχὰν ἐπεὶ γάθησεν, ἐξαίρετον
book 4.121.3 γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.
book 4.121.4 καὶ κασίγˈνητοί σφισιν ἀμφότεροι
book 4.125 ἤλυθον κείνου γε κατὰ κˈλέος· ἐγγὺς
book 4.125.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν Φέρης κράναν Ὑπερῇδα λιπών,
book 4.125.2 ἐκ δὲ Μεσσάνας Ἀμυθάν· ταχέως δ’ Ἄ-
book 4.126.1 δˈματος ἷκεν καὶ Μέλαμπος
book 4.126.2 εὐμενέοντες ἀνεψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ
book 4.126.3 μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγˈμενος
book 4.126.4 ξείνι’ ἁρμόζοντα τεύχων
book 4.129 πᾶσαν ἐυφˈροσύναν τάνυεν
book 4.130.1 ἀθˈρόαις πέντε δˈραπὼν νύκτεσσιν ἔν θ’ ἁμέραις
book 4.130.2 ἱερὸν εὐζοίας ἄωτον.
book 4.130.3 ἀλλ’ ἐν ἕκτᾳ πάντα λόγον θέμενος σπου-
book 4.132.1 δαῖον ἐξ ἀρχᾶς ἀνήρ
book 4.132.2 συγγενέσιν παρεκοινᾶθ’·
book 4.133.1 οἱ δ’ ἐπέσποντ’. αἶψα δ’ ἀπὸ κˈλισιᾶν
book 4.133.2 ὦρτο σὺν κείνοισι· καί ῥ’ ἦλθον Πελία μέγαρον·
book 4.135 ἐσσύμενοι δ’ εἴσω κατέσταν· τῶν δ’ ἀκού-
book 4.135.1 σαις αὐτὸς ὑπαντίασεν
book 4.135.2 Τυροῦς ἐρασιπˈλοκάμου γενεά· πραῢν δ’ Ἰάσων
book 4.135.3 μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον
book 4.135.4 βάλλετο κˈρηπῖδα σοφῶν ἐπέων·
book 4.138 —‘Παῖ Ποσειδᾶνος Πετραίου,
book 4 ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι
book 4.140 κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον τρα-
book 4.140.1 χεῖαν ἑρπόντων πρὸς ἔπιβδαν ὅμως
book 4.140.2 ἀλλ’ ἐμὲ χˈρὴ καὶ σὲ θεμισσαμένους ὀρ-
book 4.141.1 γὰς ὑφαίνειν λοιπὸν ὄλβον.
book 4.141.2 εἰδότι τοι ἐρέω· μία βοῦς Κρηθεῖ τε μάτηρ
book 4.141.3 καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ’ ἐν γοναῖς
book 4.141.4 ἄμμες αὖ κείνων φυτευθέν-
book 4.144 τες σθένος ἀελίου χρύσεον
book 4.145.1 λεύσσομεν. Μοῖραι δ’ ἀφίσταιντ’, εἴ τις ἔχθρα πέλει
book 4.145.2 ὁμογόνοις αἰδῶ καλύψαι.
book 4.145.3 οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν
book 4.145.4 οὐδ’ ἀκόντεσσιν μεγάλαν προγόνων τι-
book 4.148.1 μὰν δάσασθαι. μῆλά τε γάρ τοι ἐγώ
book 4.148.2 καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίημ’ ἀ-
book 4.149 γˈρούς τε πάντας, τοὺς ἀπούρας
book 4.1 ἁμετέρων τοκέων νέμεαι πλοῦτον πἱαίνων·
book 4.2 κοὔ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ’ ἄγαν·
book 4.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ καὶ σκᾶπτον μόναρχον
book 4.152.1 καὶ θρόνος, ᾧ ποτε Κρηθεΐδας
book 4.152.2 ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας—
book 4.152.3 τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας
book 4.155 λῦσον, ἄμμιν μή τι νεώτερον ἐξ αὐ-
book 4.155.1 τῶν ἀναστάῃ κακόν.‘
book 4.155.2 ὣς ἄρ’ ἔειπεν, ἀκᾷ δ’ ἀντ-
book 4.156.1 αγόρευσεν καὶ Πελίας· ‘Ἔσομαι
book 4.156.2 τοῖος· ἀλλ’ ἤδη με γηραιὸν μέρος ἁλικίας
book 4.156.3 ἀμφιπολεῖ· σὸν δ’ ἄνθος ἥβας ἄρτι κυ-
book 4.158.1 μαίνει· δύνασαι δ’ ἀφελεῖν
book 4.158.2 μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι
book 4.160.1 Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους
book 4.160.2 δέρμα τε κˈριοῦ βαθύμαλλον ἄγειν,
book 4.161 —τῷ ποτ’ ἐκ πόντου σαώθη
book 4.1 ἔκ τε ματρυιᾶς ἀθέων βελέων.
book 4.2 ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φω-
book 4.163.1 νεῖ. μεμάντευμαι δ’ ἐπὶ Κασταλίᾳ,
book 4.163.2 εἰ μετάλλατόν τι· καὶ ὡς τάχος ὀτˈρύ-
book 4.164 νει με τεύχειν ναῒ πομπάν.
book 4.165.1 τοῦτον ἄεθˈλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν
book 4.165.2 καὶ βασιλευέμεν ὄμνυμι πˈροήσειν. καρτερός
book 4.165.3 ὅρκος ἄμμιν μάρτυς ἔστω
book 4.167.1 Ζεὺς ὁ γενέθˈλιος ἀμφοτέροις.‘
book 4.167.2 σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρίθεν·
book 4.167.3 ἀτὰρ Ἰάσων αὐτὸς ἤδη
book 4.170.1 ὤρνυεν κάρυκας ἐόντα πλόον
book 4.170.2 φαινέμεν παντᾷ. τάχα δὲ Κˈρονίδαο
book 4.171.1 Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι
book 4.171.2 ἦλθον Ἀλκμήνας θ’ ἑλικογˈλεφάρου Λή-
book 4.172.1 δας τε, δοιοὶ δ’ ὑψιχαῖται
book 4.172.2 ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,
book 4.172.3 ἔκ τε Πύλου καὶ ἀπ’ ἄκˈρας Ταινάρου· τῶν μὲν κλέος
book 4.175 ἐσλὸν Εὐφάμου τ’ ἐκράνθη
book 4.175.1 σόν τε, Περικˈλύμεν’ εὐρυβία.
book 4.175.2 ἐξ Ἀπόλλωνος δὲ φορμιγκτὰς ἀοιδᾶν πατήρ
book 4.175.3 ἔμολεν, εὐαίνητος Ὀρφεύς.
book 4.175.4 πέμψε δ’ Ἑρμᾶς χρυσόραπις διδύμους υἱ-
book 4.178.1

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὺς ἐπ’ ἄτˈρυτον πόνον,
book 4.178.2 τὸν μὲν Ἐχίονα, κεχˈλά-
book 4.179 δοντας ἥβᾳ, τὸν δ’ Ἔρυτον. ταχέες {δ’}
book 4.180.1 ἀμφὶ Παγγαίου θεμέθˈλοις ναιετάοντες ἔβαν,
book 4.180.2 καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔν-
book 4.181 τυνεν βασιλεὺς ἀνέμων
book 4.1 Ζήταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν
book 4.2 νῶτα πεφˈρίκοντας ἄμφω πορφυρέοις.
book 4.3 τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοι-
book 4.184 σιν πόθον ἔνδαιεν Ἥρα
book 4.185.1 ναὸς Ἀργοῦς, μή τινα λειπόμενον
book 4.185.2 τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰ-
book 4.186.1 ῶνα πέσσοντ’, ἀλλ’ ἐπὶ καὶ θανάτῳ
book 4.186.2 φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅ-
book 4.187.1 λιξιν εὑρέσθαι σὺν ἄλλοις.
book 4.187.2 ἐς δ’ Ἰαολκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,
book 4.187.3 λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά οἱ
book 4.190 μάντις ὀρνίχεσσι καὶ κλά-
book 4.190.1 ροισι θεοπˈροπέων ἱεροῖς
book 4.190.2 Μόψος ἄμβασε στρατὸν πρόφˈρων· ἐπεὶ δ’ ἐμβόλου
book 4.190.3 κρέμασαν ἀγκύρας ὕπερθεν,
book 4.190.4 χρυσέαν χείρεσσι λαβὼν φιάλαν
book 4.190.5 ἀρχὸς ἐν πρύμνᾳ πατέρ’ Οὐρανιδᾶν ἐγ-
book 4.194 χεικέραυνον Ζῆνα, καὶ ὠκυπόρους
book 4.195 κυμάτων ῥιπὰς ἀνέμους τ’ ἐκάλει νύ-
book 4.195.1 κτας τε καὶ πόντου κελεύθους
book 4.195.2 ἄματά τ’ εὔφρονα καὶ φιλίαν νόστοιο μοῖραν·
book 4.195.3 ἐκ νεφέων δέ οἱ ἀντᾱ̃υσε βροντᾶς αἴσιον
book 4.195.4 φθέγˈμα· λαμπραὶ δ’ ἦλθον ἀκτῖ-
book 4.198.1 νες στεροπᾶς ἀπορηγνύμεναι.
book 4.198.2 ἀμπνοὰν δ’ ἥρωες ἔστασαν θεοῦ σάμασιν
book 4.1 πιθόμενοι· κάρυξε δ’ αὐτοῖς
book 4.2 ἐμβαλεῖν κώπαισι τερασκόπος ἁδεί-
book 4.201.1 ας ἐνίπτων ἐλπίδας·
book 4.201.2 εἰρεσία δ’ ὑπεχώρη-
book 4.202.1 σεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος.
book 4.202.2 σὺν Νότου δ’ αὔραις ἐπ’ Ἀξείνου στόμα πεμπόμενοι
book 4.202.3 ἤλυθον· ἔνθ’ ἁγˈνὸν Ποσειδάωνος ἕσ-
book 4.204

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σαντ’ ἐνναλίου τέμενος,
book 4.205.1 φοίνισσα δὲ Θρηϊκίων ἀγέλα ταύρων ὑπᾶρχεν,
book 4.205.2 καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.
book 4.205.3 ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι
book 4.207 ⸏δεσπόταν λίσσοντο ναῶν,
book 4.1 συνδρόμων κινηθμὸν ἀμαιμάκετον
book 4.2 ἐκφυγεῖν πετˈρᾶν. δίδυμαι γὰρ ἔσαν ζω-
book 4.209 αί, κυλινδέσκοντό τε κραιπνότεραι
book 4.210 ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλλ’ ἤ-
book 4.210.1 δη τελευτὰν κεῖνος αὐταῖς
book 4.210.2 ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ’ ἔπειτεν
book 4.210.3 ἤλυθον, ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν
book 4.210.4 μεῖξαν Αἰήτᾳ παρ’ αὐτῷ.
book 4.213.1 πότˈνια δ’ ὀξυτάτων βελέων
book 4.213.2 ποικίλαν ἴϋγγα τετˈράκˈναμον Οὐλυμπόθεν
book 4.215.1 ἐν ἀλύτῳ ζεύξαισα κύκˈλῳ
book 4.215.2 μαινάδ’ ὄρνιν Κυπˈρογένεια φέρεν
book 4.215.3 πρῶτον ἀνθρώποισι λιτάς τ’ ἐπαοιδὰς
book 4.217.1 ἐκδιδάσκησεν σοφὸν Αἰσονίδαν·
book 4.217.2 ὄφˈρα Μηδείας τοκέων ἀφέλοιτ’ αἰ-
book 4.218.1 δῶ, ποθεινὰ δ’ Ἑλλὰς αὐτάν
book 4.218.2 ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς.
book 4.220.1 καὶ τάχα πείρατ’ ἀέθˈλων δείκνυεν πατρωΐων·
book 4.220.2 σὺν δ’ ἐλαίῳ φαρμακώσαις’
book 4.221.1 ἀντίτομα στερεᾶν ὀδυνᾶν
book 4.221.2 δῶκε χρίεσθαι. καταίνησάν τε κοινὸν γάμον
book 4.221.3 γλυκὺν ἐν ἀλλάλοισι μεῖξαι.
book 4.221.4 ἀλλ’ ὅτ’ Αἰήτας ἀδαμάντινον ἐν μέσ-
book 4.224 σοις ἄροτˈρον σκίμψατο
book 4.225 καὶ βόας, οἳ φλόγ’ ἀπὸ ξαν-
book 4.225.1 θᾶν γενύων πνέον καιομένοιο πυρός,
book 4.225.2 χαλκέαις δ’ ὀπˈλαῖς ἀράσσεσκον χθόν’ ἀμειβόμενοι
book 4.225.3 τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος. ὀρ-
book 4.227.1 θὰς δ’ αὔλακας ἐντανύσαις
book 4.227.2 ἤλαυν’, ἀνὰ βωλακίας δ’ ὀρόγυιαν σχίζε νῶτον
book 4.227.3 γᾶς. ἔειπεν δ’ ὧδε· ‘Τοῦτ’ ἔργον βασιλεύς,
book 4.230 ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις
book 4.230 ⸏ἄφθιτον στρωμνὰν ἀγέσθω,
book 4.1

κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ.ʻ
book 4.2 ὣς ἄρ’ αὐδάσαντος ἀπὸ κˈρόκεον ῥί-
book 4.232.1 ψαις Ἰάσων εἶμα θεῷ πίσυνος
book 4.232.2 εἴχετ’ ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει παμ-
book 4.233.1 φαρμάκου ξείνας ἐφετˈμαῖς.
book 4.233.2 σπασσάμενος δ’ ἄροτρον, βοέους δήσαις ἀνάγκᾳ
book 4.235.1 ἔντεσιν αὐχένας ἐμβάλλων τ’ ἐριπˈλεύρῳ φυᾷ
book 4.235.2 κέντρον αἰανὲς βιατὰς
book 4.236.1 ἐξεπόνης’ ἐπιτακτὸν ἀνήρ
book 4.236.2 μέτˈρον. ἴυξεν δ’ ἀφωνήτῳ περ ἔμπας ἄχει
book 4.236.3 δύνασιν Αἰήτας ἀγασθείς.
book 4.236.4 πρὸς δ’ ἑταῖροι καρτερὸν ἄνδρα φίλας
book 4.240 ὤρεγον χεῖρας, στεφάνοισί τέ νιν ποί-
book 4.240.1 ας ἔρεπτον, μειλιχίοις τε λόγοις
book 4.240.2 ἀγαπάζοντ’. αὐτίκα δ’ Ἀελίου θαυ-
book 4.241.1 μαστὸς υἱὸς δέρμα λαμπρόν
book 4.241.2 ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι·
book 4.241.3 ἔλπετο δ’ οὐκέτι οἱ κεῖνόν γε πράξασθαι πόνον.
book 4.241.4 κεῖτο γὰρ λόχˈμᾳ, δράκοντος
book 4.244 δ’ εἴχετο λαβˈροτατᾶν γενύων,
book 4.245 ὃς πάχει μάκει τε πεντηκόντερον ναῦν κράτει,
book 4.1 τέλεσεν ἂν πλαγαὶ σιδάρου.
book 4.2 μακˈρά μοι νεῖσθαι κατ’ ἀμαξιτόν· ὥρα
book 4.247.1 γὰρ συνάπτει καί τινα
book 4.247.2 οἶμον ἴσαμι βραχύν· πολ-
book 4.248.1 λοῖσι δ’ ἅγημαι σοφίας ἑτέροις.
book 4.248.2 κτεῖνε μὲν γλαυκῶπα τέχˈναις ποικιλόνωτον ὄφιν,
book 4 ◌ῶ͜ Ἀρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐ-
book 4.1 τᾷ, τὰν Πελίαο φονόν·
book 4.2 ἔν τ’ Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ’ ἐρυθˈρῷ
book 4.3 Λαμνιᾶν τ’ ἔθˈνει γυναικῶν ἀνδροφόνων·
book 4.4 ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδεί-
book 4.253 ___ξαντο κρίσιν ἐσθᾶτος ἀμφίς,
book 4 καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς
book 4.255 σπέρμ’ ἀρούραις τουτάκις ὑμετέρας ἀ-
book 4.255.1 κτῖνος ὄλβου δέξατο μοιρίδιον
book 4.255.2 ἆμαρ ἢ νύκτες· τόθι γὰρ γένος Εὐφά-
book 4.256.1 μου φυτευθὲν λοιπὸν αἰεί
book 4.256.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέλλετο· καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν
book 4.256.3 ἤθεσιν ἔν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ
book 4.256.4 νᾶσον· ἔνθεν δ’ ὔμμι Λατοί-
book 4.259 δας ἔπορεν Λιβύας πεδίον
book 4.260.1 σὺν θεῶν τιμαῖς ὀφέλλειν, ἄστυ χρυσοθˈρόνου
book 4.260.2 διανέμειν θεῖον Κυράνας
book 4.260.3 ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
book 4.260.4 γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν· εἰ
book 4.263.1 γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
book 4.263.2 ἐξερείψειεν μεγάλας δρυός, αἰσχύ-
book 4.264 νοι δέ οἱ θαητὸν εἶδος,
book 4.265.1 καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ’ αὐτᾶς,
book 4.265.2 εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον,
book 4.265.3 ἢ σὺν ὀρθαῖς κιόνεσσιν
book 4.267.1 δεσποσύναισιν ἐρειδομένα
book 4.267.2 μόχθον ἄλλοις ἀμφέπει δύστανον ἐν τείχεσιν,
book 4.267.3 ἑὸν ἐρημώσαισα χῶρον.
book 4.270 ἐσσὶ δ’ ἰατὴρ ἐπικαιρότατος, Παι-
book 4.270.1 άν τέ σοι τιμᾷ φάος.
book 4.270.2 χρὴ μαλακὰν χέρα προσβάλ-
book 4.271.1 λοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν.
book 4.271.2 ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·
book 4.271.3 ἀλλ’ ἐπὶ χώρας αὖτις ἔσσαι δυσπαλὲς
book 4.273.1 δὴ γίνεται, ἐξαπίνας
book 4.273.2 εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται.
book 4.275.1 τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες.
book 4.275.2 τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυρά-
book 4.276 νας θέμεν σπουδὰν ἅπασαν.
book 4.1 τῶν δ’ Ὁμήρου καὶ τόδε συνθέμενος
book 4.2 ῥῆμα πόρσυν’· ἄγγελον ἐσλὸν ἔφα τι-
book 4.278.1 μὰν μεγίσταν πράγματι παντὶ φέρειν·
book 4.278.2 αὔξεται καὶ Μοῖσα δι’ ἀγγελίας ὀρ-
book 4.279 θᾶς. ἐπέγˈνω μὲν Κυράνα
book 4.280.1 καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν
book 4.280.2 Δαμοφίλου πραπίδων. κεῖνος γὰρ ἐν παισὶν νέος,
book 4.280.3 ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρ-
book 4.282.1 σαις ἑκατονταετεῖ βιοτᾷ,
book 4.282.2 ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαεννᾶς ὀπός,
book 4.282.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔμαθε δ’ ὑβˈρίζοντα μισεῖν,
book 4.285.1 οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς,
book 4.285.2 οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ και-
book 4.286.1 ρὸς πρὸς ἀνθρώπων βραχὺ μέτˈρον ἔχει.
book 4.286.2 εὖ νιν ἔγˈνωκεν· θεράπων δέ οἱ, οὐ δρά-
book 4.287.1 στας ὀπαδεῖ. φαντὶ δ’ ἔμμεν
book 4.287.2 τοῦτ’ ἀνιαρότατον, καλὰ γινώσκοντ’ ἀνάγκᾳ
book 4 ἐκτὸς ἔχειν πόδα. καὶ μὰν κεῖνος Ἄτˈλας οὐρανῷ
book 4.290 προσπαλαίει νῦν γε πατˈρῴ-
book 4.290.1 ας ἀπὸ γᾶς ἀπό τε κτεάνων·
book 4.290.2 λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας. ἐν δὲ χˈρόνῳ
book 4.290.3 μεταβολαὶ λήξαντος οὔρου
book 4.290.4 ἱστίων. ἀλλ’ εὔχεται οὐλομέναν νοῦ-
book 4.293.1 σον διαντλήσαις ποτέ
book 4.293.2 οἶκον ἰδεῖν, ἐπ’ Ἀπόλλω-
book 4.294 νός τε κράνᾳ συμποσίας ἐφέπων
book 4.295.1 θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις, ἔν τε σοφοῖς
book 4.295.2 δαιδαλέαν φόρμιγγα βαστάζων πολί-
book 4.296.1 ταις ἡσυχίᾳ θιγέμεν,
book 4.296.2 μήτ’ ὦν τινι πῆμα πορών, ἀπαθὴς δ’ αὐτὸς πρὸς ἀστῶν·
book 4.296.3 καί κε μυθήσαιθ’, ὁποίαν, Ἀρκεσίλα,
book 4.296.4 εὗρε παγὰν ἀμβροσίων ἐπέων,
book 4.299 πρόσφατον Θήβᾳ ξενωθείς.
book 5 .
book 5.5.1 ὦ θεόμορ’ Ἀρκεσίλα,
book 5.5.2 σύ τοί νιν κλυτᾶς
book 5.5.3 αἰῶνος ἀκˈρᾶν βαθμίδων ἄπο
book 5.5.4 σὺν εὐδοξίᾳ μετανίσεαι
book 5.5.5 ἕκατι χρυσαρμάτου Κάστορος·
book 5.10.1 εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεάν
book 5.10.2 καταιθύσσει μάκαιραν ἑστίαν.
book 5.10.3 σοφοὶ δέ τοι κάλλιον
book 5.10.4 φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.
book 5.10.5 σὲ δ’ ἐρχόμενον ἐν δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται·
book 5.15.1 τὸ μέν, ὅτι βασιλεύς
book 5.15.2 ἐσσί· μεγαλᾶν πολίων
book 5.15.3 ἔχει συγγενής
book 5.15.4 ὀφθαλμὸς αἰδοιότατον γέρας
book 5.15.5

τεᾷ τοῦτο μειγνύμενον φρενί·
book 5.20.1 μάκαρ δὲ καὶ νῦν, κλεεννᾶς ὅτι
book 5.20.2 εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλών
book 5.20.3 δέδεξαι τόνδε κῶμον ἀνέρων,
book 5.20.4 Ἀπολλώνιον ἄθυρμα· τῶ σε μὴ λαθέτω,
book 5.20.5 Κυράνᾳ γλυκὺν ἀμφὶ κᾶ-
book 5.24 πον Ἀφˈροδίτας ἀειδόμενον,
book 5.25.1 παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν,
book 5.25.2 φιλεῖν δὲ Κάρρωτον ἔξοχ’ ἑταίρων·
book 5.1 ὃς οὐ τὰν Ἐπιμαθέος ἄγων
book 5.2 ὀψινόου θυγατέρα Πˈρόφασιν Βαττιδᾶν
book 5.3 ἀφίκετο δόμους θεμισκρεόντων·
book 5.30.1 ἀλλ’ ἀρισθάρματον
book 5.30.2 ὕδατι Κασταλίας ξενω-
book 5.31 ___θεὶς γέρας ἀμφέβαλε τεαῖσιν κόμαις,
book 5.1 ἀκηράτοις ἁνίαις
book 5.2 ποδαρκέων δώδεκ’ ἂν δρόμων τέμενος.
book 5.3 κατέκˈλασε γὰρ ἐντέων σθένος οὐδέν· ἀλλὰ κρέμαται
book 5.35.1 ὁπόσα χεριαρᾶν
book 5.35.2 τεκτόνων δαίδαλ’ ἄγων
book 5.35.3 Κρισαῖον λόφον
book 5.35.4 ἄμειψεν ἐν κοιλόπεδον νάπος
book 5.35.5 θεοῦ· τό σφ’ ἔχει κυπαρίσσινον
book 5.40.1 μέλαθˈρον ἀμφ’ ἀνδριάντι σχεδόν,
book 5.40.2 Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασσίῳ
book 5.40.3 καθέσσαντο μ̄ονόδˈροπον φυτόν.
book 5.40.4 ἑκόντι τοίνυν πρέπει
book 5.40.5 νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.
book 5.45.1 Ἀλεξιβιάδα, σὲ δ’ ἠΰκομοι φλέγοντι Χάριτες.
book 5.45.2 μακάριος, ὃς ἔχεις
book 5.45.3 καὶ πεδὰ μέγαν κάματον
book 5.45.4 λόγων φερτάτων
book 5.45.5 μναμήϊ’· ἐν τεσσαράκοντα γάρ
book 5.1 πετόντεσσιν ἁνιόχοις ὅλον
book 5.2 δίφρον κομίξαις ἀταρβεῖ φρενί,
book 5.3 ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγˈλαῶν
book 5.4 ἀέθˈλων καὶ πατρωΐαν πόλιν.
book 5.5 πόνων δ’ οὔ τις ἀπόκλαρός ἐστιν οὔτ’ ἔσεται·
book 5.55

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ Βάττου δ’ ἕπεται παλαι-
ὸς ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων,
πύργος ἄστεος ὄμμα τε φαεννότατον
ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
λέοντες περὶ δείματι φύγον,
γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν·
ὁ δ’ ἀρχαγέτας ἔδωκ’ Ἀπόλλων
θῆρας αἰνῷ φόβῳ,
ὄφ᾽ρα μὴ ταμίᾳ Κυρά-
νας ἀτελὴς γένοιτο μαντεύμασιν.
ὃ καὶ βαρειᾶν νόσων
ἀκέσματ’ ἄνδρεσσι καὶ γυναιξὶ νέμει,
πόρεν τε κίθαριν, δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,
ἀπόλεμον ἀγαγών
ἐς πραπίδας εὐνομίαν,
μυχόν τ’ ἀμφέπει
μαντήϊον· τῷ {καὶ} Λακεδαίμονι
ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ
ἔνασσεν ἀλκάεντας Ἡρακ᾽λέος
ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ’ ἐμὸν γαρύει
ἀπὸ Σπάρτας ἐπήρατον κλέος,
ὅθεν γεγενναμένοι
ἵκοντο Θήρανδε φῶτες Αἰγεΐδαι,
ἐμοὶ πατέρες, οὐ θεῶν ἄτερ, ἀλλὰ Μοῖρά τις ἄγεν·
πολύθυτον ἔρανον
ἔνθεν ἀναδεξάμενοι,
Ἄπολλον, τεᾷ,
Καρνήϊ’, ἐν δαιτὶ σεβίζομεν
Κυράνας ἀγακτιμέναν πόλιν·
ἔχοντι τὰν χαλκοχάρμαι ξένοι
Τρῶες Ἀντανορίδαι· σὺν Ἑλένᾳ γὰρ μόλον,
καπνωθεῖσαν πάτραν ἐπεὶ ἴδον
ἐν Ἄρει· τὸ δ’ ἐλάσιππον ἔθ᾽νος ἐνδυκέως
δέκονται θυσίαισιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι,
τοὺς Ἀριστοτέλης ἄγαγε ναυσὶ θοαῖς
ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.
κτίσεν δ’ ἄλσεα μείζονα θεῶν,
εὐθύτομόν τε κατέθηκεν Ἀπολλωνίαις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
book 5.90.3 ἔμμεν ἱππόκˈροτον
book 5.90.4 σκυρωτὰν ὁδόν, ἔνθα πρυ-
book 5.93 ‿—μνοῖς ἀγορᾶς ἔπι δίχα κεῖται θανών·
book 5 μάκαρ μὲν ἀνδρῶν μέτα
book 5.95.1 ἔναιεν, ἥρως δ’ ἔπειτα λαοσεβής.
book 5.95.2 ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες Ἀΐδαν
book 5.95.3 βασιλέες ἱεροί
book 5.95.4 ἐντί· μεγαλᾶν δ’ ἀρετᾶν
book 5.95.5 δρόσῳ μαλθακᾷ
book 5.1 ῥανθεισᾶν κώμων {θ’} ὑπὸ χεύμασιν,
book 5.2 ἀκούοντί ποι χθονίᾳ φρενί,
book 5.3 σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν
book 5.4 ἔνδικόν τ’ Ἀρκεσίλᾳ· τὸν ἐν ἀοιδᾷ νέων
book 5.5 πρέπει χρυςά͜ορ͜α Φοῖβον ἀπύειν,
book 5.105.1 ἔχοντα Πυθωνόθεν
book 5.105.2 τὸ καλλίνικον λυτήριον δαπανᾶν
book 5.105.3 μέλος χαρίεν. ἄνδρα κεῖνον ἐπαινέοντι συνετοί·
book 5.105.4 λεγόμενον ἐρέω·
book 5.105.5 κρέσσονα μὲν ἁλικίας
book 5.110.1 νόον φέρβεται
book 5.110.2 γλῶσσάν τε· θάρσος δὲ τανύπτερος
book 5.110.3 ἐν ὄρνιξιν αἰετὸς ἔπˈλετο·
book 5.110.4 ἀγωνίας δ’, ἕρκος οἷον, σθένος·
book 5.110.5 ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας,
book 5.115.1 πέφανταί θ’ ἁρματηλάτας σοφός·
book 5.115.2 ὅσαι τ’ εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι,
book 5.115.3 τετόλμακε. θεός τέ οἱ
book 5.117.1 τὸ νῦν τε πρόφˈρων τελεῖ δύνασιν,
book 5.117.2 καὶ τὸ λοιπὸν ὁμοῖα, Κρονίδαι μάκαρες,
book 5.117.3 διδοῖτ’ ἐπ’ ἔργοισιν ἀμφί τε βουλαῖς
book 5.120.1 ἔχειν, μὴ φθινοπωρὶς ἀνέμων
book 5.120.2 χειμερία κατὰ πνοὰ δαμαλίζοι χρόνον.
book 5.120.3 Διός τοι νόος μέγας κυβερνᾷ
book 5.120.4 δαίμον’ ἀνδρῶν φίλων.
book 5.120.5 εὔχομαί νιν Ὀλυμπίᾳ
book 5.124 τοῦτο δόμεν γέρας ἔπι Βάττου γένει.
book 6 .
book 6.5.1

Πυθιόνικος ἔνθ’ ὀλβίοισιν Ἐμμενίδαις
book 6.5.2 ποταμίᾳ τ’ Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
book 6.7/8 ἑτοῖμος ὕμνων θησαυρὸς ἐν πολυχρύσῳ
book 6.9 Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·
book 6.10.1 τὸν οὔτε χειμέριος ὄμβρος, ἐπακτὸς ἐλθών
book 6.10.2 ἐριβˈρόμου νεφέλας
book 6.10.3 στρατὸς ἀμείλιχος, οὔτ’ ἄνεμος ἐς μυχούς
book 6.10.4 ἁλὸς ἄξοισι παμφόρῳ χεράδει
book 6.10.5 τυπτόμενον. φάει δὲ πˈρόσωπον ἐν καθαρῷ
book 6.15 πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
book 6.16/17 λόγοισι θνατῶν εὔδοξον ἅρματι νίκαν
book 6.18 Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.
book 6 σύ τοι σχεθών νιν ἐπὶ δεξιὰ χειρός, ὀρθὰν
book 6.20.1 ἄγεις ἐφημοσύναν,
book 6.20.2 τά ποτ’ ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
book 6.20.3 Φιλύρας υἱὸν ὀρφανιζομένῳ
book 6.20.4 Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν,
book 6.20.5 βαρύοπα στεροπᾶν κεραυνῶν τε πρύτανιν,
book 6.25/26 θεῶν σέβεσθαι· ταύτας δὲ μή ποτε τιμᾶς
book 6.27 ἀμείρειν γονέων βίον πεπρωμένον.
book 6.1 ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
book 6.2 νόημα τοῦτο φέρων,
book 6.30.1 ὃς ὑπερέφθιτο πατˈρός, ἐναρίμβροτον
book 6.30.2 ἀναμείναις στράταρχον Αἰθιόπων
book 6.30.3 Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ’ ἐπέδα
book 6.30.4 Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ’ ἔφεπεν
book 6.34/35 κραταιὸν ἔγχος· Μεσσανίου δὲ γέροντος
book 6.36 δονηθεῖσα φρὴν βόασε παῖδα ὅν,
book 6.1 χαμαιπετὲς δ’ ἄρ’ ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ
book 6.2 μένων δ’ ὁ θεῖος ἀνήρ
book 6.3 πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
book 6.40.1 ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
book 6.40.2 ὁπˈλοτέροισιν ἔργον πελώριον τελέσαις
book 6.40.3 ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
book 6.40.4 τὰ μὲν παρίκει· τῶν νῦν δὲ καὶ Θρασύβουλος
book 6.45 πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,
book 6.1 πάτρῳ τ’ ἐπερχόμενος ἀγˈλαΐαν {ἔδειξεν} ἅπασαν.
book 6.2 νόῳ δὲ πλοῦτον ἄγει,
book 6.3

ἄδικον οὔθ’ ὑπέροπˈλον ἥβαν δρέπων,
book 6.4 σοφίαν δ’ ἐν μυχοῖσι Πιερίδων·
book 6.1 τίν τ’, Ἐλέλιχθον, ἄρχεις ὃς ἱππιᾶν ἐσόδων,
book 6.2 μάλα ἁδόντι νόῳ, Ποσειδάν, προσέχεται.
book 6.52/53 γλυκεῖα δὲ φˈρὴν καὶ συμπόταισιν ὁμιλεῖν
book 6.54 μελισσᾶν ἀμείβεται τρητὸν πόνον.
book 7 .
book 7.3/4 γενεᾷ κρηπῖδ’ ἀοιδᾶν ἵπποισι βαλέσθαι.
book 7.5/6 ἐπεὶ τίνα πάτραν, τίνα οἶκον ναίων ὀνυμάξεαι
book 7.7.1 ἐπιφανέστερον
book 7.7.2 Ἑλλάδι πυθέσθαι;
book 7.7.3 πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ
book 7.10 Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεόν
book 7.11/12 δόμον Πυθῶνι δίᾳ θαητὸν ἔτευξαν.
book 7.13/14 ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ νῖκαι, μία δ’ ἐκπρεπής
book 7.15.1 Διὸς Ὀλυμπιάς,
book 7.15.2 δύο δ’ ἀπὸ Κίρρας,
book 7.15.3 ὦ Μεγάκλεες,
book 7.17.1 ὑμαί τε καὶ προγόνων.
book 7.17.2 νέᾳ δ’ εὐπραγίᾳ χαίρω τι· τὸ δ’ ἄχˈνυμαι,
book 7.17.3 φθόνον ἀμειβόμενον τὰ καλὰ ἔργα. φαντί γε μάν
book 7.20 οὕτω κ’ ἀνδρὶ παρμονίμαν
book 7 θάλλοισαν εὐδαιμονίαν τὰ καὶ τὰ φέρεσθαι.
book 8 .
book 8.5.1 Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ.
book 8.5.2 τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς
book 8.5.3 ἐπίστασαι καιρῷ σὺν ἀτˈρεκεῖ·
book 8.5.4 τὺ δ’ ὁπόταν τις ἀμείλιχον
book 8.5.5 καρδίᾳ κότον ἐνελάσῃ,
book 8.10 τραχεῖα δυσμενέων
book 8.1 ὑπαντιάξαισα κράτει τιθεῖς
book 8.2 ὕβˈριν ἐν ἄντλῳ, τὰν οὐδὲ Πορφυρίων μάθεν
book 8.3 παρ’ αἶσαν ἐξερεθίζων. κέρδος δὲ φίλτατον,
book 8.4 ἑκόντος εἴ τις ἐκ δόμων φέροι.
book 8.15.1 βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ.
book 8.15.2 Τυφὼς Κίλιξ ἑκατόγκρανος οὔ νιν ἄλυξεν,
book 8.15.3 οὐδὲ μὰν βασιλεὺς Γιγάντων· δμᾶθεν δὲ κεραυνῷ
book 8.15.4 τόξοισί τ’ Ἀπόλλωνος· ὃς εὐμενεῖ νόῳ
book 8.15.5

Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον
⸐υἱὸν ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ.
ἔπεσε δ᾽ οὐ Χαρίτων ἑκάς
ἁ δικαιόπολις ἀρεταῖς
κλειναῖσιν Αἰακιδᾶν
θιγοῖσα νᾶσος· τελέαν δ᾽ ἔχει
δόξαν ἀπ᾽ ἀρχᾶς. πολλοῖσι μὲν γὰρ ἀείδεται
νικαφόροις ἐν ἀέθ᾽λοις θρέψαισα καὶ θοαῖς
ὑπερτάτους ἥρωας ἐν μάχαις·
τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει.
εἰμὶ δ᾽ ἄσχολος ἀναθέμεν
πᾶσαν μακραγορίαν
λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,
μὴ κόρος ἐλθὼν κνίσῃ. τὸ δ᾽ ἐν ποσί μοι τράχον
ἴτω τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν,
ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.
παλαισμάτεσσι γὰρ ἰχ᾽νεύων ματραδελφεούς
Οὐλυμπίᾳ τε Θεόγ᾽νητον οὐ κατελέγχεις,
οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον·
αὔξων δὲ πάτραν Μειδυλιδᾶν λόγον φέρεις,
τὸν ὅνπερ ποτ᾽ Ὀϊκ᾽λέος παῖς ἐν ἑπταπύλοις ἰδών
⸐υἱοὺς Θήβαις αἰνίξατο παρμένοντας αἰχμᾷ,
ὁπότ᾽ ἀπ᾽ Ἄργεος ἤλυθον
δευτέραν ὁδὸν Ἐπίγονοι.
ὧδ᾽ εἶπε μαρναμένων·
‘φυᾷ τὸ γενναῖον ἐπιπ᾽ρέπει
ἐκ πατέρων παισὶ λῆμα. θαέομαι σαφές
δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν᾽ ἐπ᾽ ἀσπίδος
νωμῶντα πρῶτον ἐν Κάδ᾽μου πύλαις.
ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ
νῦν ἀρείονος ἐνέχεται
ὄρνιχος ἀγγελίᾳ
Ἄδραστος ἥρως· τὸ δὲ οἴκοθεν
ἀντία πράξει. μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ
θανόντος ὀστέα λέξαις υἱοῦ, τύχᾳ θεῶν
ἀφίξεται λαῷ σὺν ἀβ᾽λαβεῖ
Ἄβαντος εὐρυχόρους ἀγυιάς.‘ τοιαῦτα μέν
ἐφθέγξατ᾽ Ἀμφιάρηος. χαίρων δὲ καὶ αὐτός

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλκμᾶνα στεφάνοισι βάλλω, ῥαίνω δὲ καὶ ὕμνῳ,
γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν
ὑπάντασεν ἰόντι γᾶς ὀμφαλὸν παρ’ ἀοίδιμον,
⸏μαντευμάτων τ’ ἐφάψατο συγγόνοισι τέχˈναις.
τὺ δ’, Ἑκαταβόλε, πάνδοκον
ναὸν εὐκλέα διανέμων
Πυθῶνος ἐν γυάλοις,
τὸ μὲν μέγιστον τόθι χαρμάτων
ὤπασας, οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν
πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες·
ὦναξ, ἑκόντι δ’ εὔχομαι νόῳ
κατά τιν’ ἁρμονίαν βλέπειν
ἀμφ’ ἕκαστον, ὅσα νέομαι.
κώμῳ μὲν ἁδυμελεῖ
Δίκα παρέστακε· θεῶν δ’ ὄπιν
ἄφθονον αἰτέω, Ξέναρκες, ὑμετέραις τύχαις.
εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ,
πολλοῖς σοφὸς δοκεῖ πεδ’ ἀφˈρόνων
βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς·
τὰ δ’ οὐκ ἐπ’ ἀνδράσι κεῖται· δαίμων δὲ παρίσχει·
ἄλλοτ’ ἄλλον ὕπερθε βάλλων, ἄλλον δ’ ὑπὸ χειρῶν,
μέτˈρῳ καταβαίνει· {ἐν} Μεγάροις δ’ ἔχεις γέρας,
μυχῷ τ’ ἐν Μαραθῶνος, Ἥρας τ’ ἀγῶν’ ἐπιχώριον
⸏νίκαις τρισσαῖς, ὦ Ἀριστόμενες, δάμασσας ἔργῳ·
τέτρασι δ’ ἔμπετες ὑψόθεν
σωμάτεσσι κακὰ φρονέων,
τοῖς οὔτε νόστος ὁμῶς
ἔπαλπνος ἐν Πυθιάδι κˈρίθη,
οὐδὲ μολόντων πὰρ ματέρ’ ἀμφὶ γέλως γλυκύς
ὦρσεν χάριν· κατὰ λαύρας δ’ ἐχθρῶν ἀπάοροι
πτώσσοντι, συμφορᾷ δεδαγˈμένοι.
ὁ δὲ καλόν τι νέον λαχὼν
ἁβˈρότατος ἔπι μεγάλας
ἐξ ἐλπίδος πέταται
ὑποπτέροις ἀνορέαις, ἔχων
κρέσσονα πλούτου μέριμναν. ἐν δ’ ὀλίγῳ βροτῶν
τὸ τερπνὸν αὔξεται· οὕτω δὲ καὶ πίτνει χαμαί,
ἀποτˈρόπῳ γνώμᾳ σεσεισμένον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπάμεροι· τί δέ τις; τί δ’ οὔ τις; σκιᾶς ὄναρ
book 8.95.2 ἄνθρωπος. ἀλλ’ ὅταν αἴγλα διόσδοτος ἔλθῃ,
book 8.95.3 λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών.
book 8.95.4 Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ
book 8.95.5 πόλιν τάνδε κόμιζε Δὶ καὶ κρέοντι σὺν Αἰακῷ
book 8 Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ’ Ἀχιλλεῖ.
book 9 .
book 9.5 τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων
book 9.5.1 ἐκ Παλίου κόλπων ποτὲ Λατοΐδας
book 9.5.2 ἅρπας’, ἔνεικέ τε χρυσέῳ παρθένον ἀγˈροτέραν
book 9.6a δίφˈρῳ, τόθι νιν πολυμήλου
book 9.7.1 καὶ πολυκαρποτάτας θῆκε δέσποιναν χθονός
book 9.7.2 ῥίζαν ἀπείρου τρίταν εὐ-
book 9.8.1 ήρατον θάλλοισαν οἰκεῖν.
book 9.8.2 ὑπέδεκτο δ’ ἀργυρόπεζ’ Ἀφροδίτα
book 9.10.1 Δάλιον ξεῖνον θεοδˈμάτων
book 9.10.2 ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ·
book 9.1 καί σφιν ἐπὶ γˈλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
book 9.2 ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον
book 9.13.1 μιχθέντα κούρᾳ θ’ Ὑψέος εὐρυβία
book 9.13.2 ὃς Λαπιθᾶν ὑπερόπˈλων τουτάκις ἦν βασιλεύς,
book 9.14a ἐξ Ὠκεανοῦ γένος ἥρως
book 9.15.1 δεύτερος· ὅν ποτε Πίνδου κλεενναῖς ἐν πτυχαῖς
book 9.15.2 Ναῒς εὐφρανθεῖσα Πηνει-
book 9.16.1 οῦ λέχει Κρέοισ’ ἔτικτεν,
book 9.16.2 Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον
book 9.16.3 θρέψατο παῖδα Κυράναν· ἁ μὲν οὔθ’ ἱ-
book 9.18.1 στῶν παλιμβάμους ἐφίλησεν ὁδούς,
book 9.18.2 οὔτε δείπνων οἰκουριᾶν μεθ’ ἑταιρᾶν τέρψιας,
book 9.20.1 ἀλλ’ ἀκόντεσσίν τε χαλκέοις
book 9.20.2 φασγάνῳ τε μαρναμένα κεράϊζεν ἀγˈρίους
book 9.20.3 θῆρας, ἦ πολλάν τε καὶ ἡσύχιον
book 9.20.4 βουσὶν εἰρήναν παρέχοισα πατρῴαις,
book 9.23.1 τὸν δὲ σύγκοιτον γλυκύν
book 9.23.2 παῦρον ἐπὶ γˈλεφάροις
book 9.25 ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ.
book 9.1 κίχε νιν λέοντί ποτ’ εὐρυφαρέτˈρας
book 9.2 ὀβˈρίμῳ μούναν παλαίοισαν
book 9.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄτερ ἐγχέων ἑκάεργος Ἀπόλλων.
book 9.4 αὐτίκα δ’ ἐκ μεγάρων Χίρωνα προσήνεπε φωνᾷ·
book 9.30 ‘σεμνὸν ἄντρον, Φιλλυρίδα προλιπὼν
book 9.30.1 θυμὸν γυναικὸς καὶ μεγάλαν δύνασιν
book 9.30.2 θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ,
book 9.31a μόχθου καθύπερθε νεᾶνις
book 9.32.1 ἦτορ ἔχοισα· φόβῳ δ’ οὐ κεχείμανται φρένες.
book 9.32.2 τίς νιν ἀνθρώπων τέκεν; ποί-
book 9.33.1 ας δ’ ἀποσπασθεῖσα φύτˈλας
book 9.33.2 ὀρέων κευθμῶνας ἔχει σκιοέντων,
book 9.35.1 γεύεται δ’ ἀλκᾶς ἀπειράντου;
book 9.35.2 ὁσία κλυτὰν χέρα οἱ προσενεγκεῖν
book 9.35.3 ἦρα καὶ ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν;‘
book 9.35.4 τὸν δὲ Κένταυρος ζαμενής, ἀγανᾷ
book 9.38.1 χλοαρὸν γελάσσαις ὀφˈρύϊ, μῆτιν ἑάν
book 9.38.2 εὐθὺς ἀμείβετο· ‘κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς
book 9.39a Πειθοῦς ἱερᾶν φιλοτάτων,
book 9.40.1 Φοῖβε, καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς
book 9.40.2 αἰδέοντ’, ἀμφανδὸν ἁδεί-
book 9.41.1 ας τυχεῖν τὸ πρῶτον εὐνᾶς.
book 9.41.2 καὶ γὰρ σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν,
book 9.41.3 ἔτˈραπε μείλιχος ὀργὰ παρφάμεν τοῦ-
book 9.43.1 τον λόγον. κούρας δ’ ὁπόθεν γενεάν
book 9.43.2 ἐξερωτᾷς, ὦ ἄνα; κύριον ὃς πάντων τέλος
book 9.45.1 οἶσθα καὶ πάσας κελεύθους·
book 9.45.2 ὅσσα τε χθὼν ἠρινὰ φύλλ’ ἀναπέμπει, χὠπόσαι
book 9.45.3 ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι
book 9.45.4 κύμασιν ῥιπαῖς τ’ ἀνέμων κλονέονται,
book 9.48.1 χὤ τι μέλλει, χὠπόθεν
book 9.48.2 ἔσσεται, εὖ καθορᾷς.
book 9 ‿εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι,
book 9.1 ἐρέω· ταύτᾳ πόσις ἵκεο βᾶσσαν
book 9.2 τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου
book 9.3 Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι·
book 9.4 ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις
book 9.55 νασιώταν ὄχθον ἐς ἀμφίπεδον·
book 9.55.1 νῦν δ’ εὐρυλείμων πότˈνιά σοι Λιβύα
book 9.55.2 δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις
book 9.56a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρόφˈρων· ἵνα οἱ χθονὸς αἶσαν
book 9.57.1 αὐτίκα συντελέθειν ἔννομον δωρήσεται,
book 9.57.2 οὔτε παγκάρπων φυτῶν νά-
book 9.58.1 ποινον οὔτ’ ἀγνῶτα θηρῶν.
book 9.58.2 τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς
book 9.60.1 εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ
book 9.60.2 ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει.
book 9.60.3 ταὶ δ’ ἐπιγουνίδιον θαησάμεναι βρέφος αὐταῖς,
book 9.60.4 νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν
book 9.63.1 στάξοισι, θήσονταί τέ νιν ἀθάνατον,
book 9.63.2 Ζῆνα καὶ ἁγˈνὸν Ἀπόλλων’, ἀνδράσι χάρμα φίλοις
book 9.64a ἄγχιστον ὀπάονα μήλων,
book 9.65.1 Ἀγˈρέα καὶ Νόμιον, τοῖς δ’ Ἀρισταῖον καλεῖν.‘
book 9.65.2 ὣς ἄρ’ εἰπὼν ἔντυεν τερ-
book 9.66.1 πνὰν γάμου κραίνειν τελευτάν.
book 9.66.2 ὠκεῖα δ’ ἐπειγομένων ἤδη θεῶν
book 9.66.3 πρᾶξις ὁδοί τε βραχεῖαι. κεῖνο κεῖν’ ἆ-
book 9.68.1 μαρ διαίτασεν· θαλάμῳ δὲ μίγεν
book 9.68.2 ἐν πολυχˈρύσῳ Λιβύας· ἵνα καλλίσταν πόλιν
book 9.70.1 ἀμφέπει κλεινάν τ’ ἀέθˈλοις.
book 9.70.2 καί νυν ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα
book 9.70.3 υἱὸς εὐθαλεῖ συνέμειξε τύχᾳ·
book 9.70.4 ἔνθα νικάσαις ἀνέφανε Κυράναν,
book 9.73.1 ἅ νιν εὔφρων δέξεται
book 9.73.2 καλλιγύναικι πάτρᾳ
book 9.75 ⸏δόξαν ἱμερτὰν ἀγαγόντ’ ἀπὸ Δελφῶν.
book 9.1 ἀρεταὶ δ’ αἰεὶ μεγάλαι πολύμυθοι·
book 9.2 βαιὰ δ’ ἐν μακˈροῖσι ποικίλλειν
book 9.3 ἀκοὰ σοφοῖς· ὁ δὲ καιρὸς ὁμοίως
book 9.4 παντὸς ἔχει κορυφάν. ἔγˈνον ποτὲ καὶ Ἰόλαον
book 9.80 οὐκ ἀτιμᾱσαντά νιν ἑπτάπυλοι
book 9.80.1 Θῆβαι· τόν, Εὐρυσθῆος ἐπεὶ κεφαλάν
book 9.80.2 ἔπραθε φασγάνου ἀκˈμᾷ, κρύψαν ἔνερθ’ ὑπὸ γᾶν
book 9.81a διφˈρηλάτα Ἀμφιτρύωνος
book 9.82 σάματι, πατˈροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος
book 9.1 κεῖτο, λευκίπποισι Καδˈμείων μετοικήσαις ἀγυιαῖς.
book 9.2 τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαΐφˈρων
book 9.85.1 ἐν μόναις ὠδῖσιν Ἀλκμήνα
book 9.85.2

διδύμων κρατησίμαχον σθένος υἱῶν.
book 9.85.3 κωφὸς ἀνήρ τις, ὃς Ἡρακˈλεῖ στόμα μὴ περιβάλλει,
book 9.85.4 μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέ-
book 9.88.1 μναται, τά νιν θρέψαντο καὶ Ἰφικλέα·
book 9.88.2 τοῖσι τέλειον ἐπ’ εὐχᾷ κωμάσομαί τι παθών
book 9.89a ἐσλόν. Χαρίτων κελαδεννᾶν
book 9.90.1 μή με λίποι καθαρὸν φέγγος. Αἰγίνᾳ τε γάρ
book 9.90.2 φαμὶ Νίσου τ’ ἐν λόφῳ τρὶς
book 9.91.1 δὴ πόλιν τάνδ’ εὐκλεΐξαι,
book 9.91.2 σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών·
book 9.91.3 οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντά-
book 9.93.1 εις, τό γ’ ἐν ξυνῷ πεπονᾱμένον εὖ
book 9.93.2 μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω·
book 9.95.1 κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρόν
book 9.95.2 παντὶ θυμῷ σύν τε δίκᾳ καλὰ ῥέζοντ’ ἔννεπεν.
book 9.95.3 πλεῖστα νικάσαντά σε καὶ τελεταῖς
book 9.95.4 ὡρίαις ἐν Παλλάδος εἶδον ἄφωνοί
book 9.98.1 θ’ ὡς ἕκασται φίλτατον
book 9.98.2 παρθενικαὶ πόσιν ἤ
book 9 —υἱὸν εὔχοντ’, ὦ Τελεσίκˈρατες, ἔμμεν,
book 9.1 ἐν {τ’} Ὀλυμπίοισί τε καὶ βαθυκόλπου
book 9.2 Γᾶς ἀέθˈλοις ἔν τε καὶ πᾶσιν
book 9.3 ἐπιχωρίοις. ἐμὲ δ’ οὖν τις ἀοιδᾶν
book 9.4 δίψαν ἀκειόμενον πράσσει χρέος, αὖτις ἐγεῖραι
book 9.105 καὶ παλαιὰν δόξαν ἑῶν προγόνων·
book 9.105.1 οἷοι Λιβύσσας ἀμφὶ γυναικὸς ἔβαν
book 9.105.2 Ἴρασα πρὸς πόλιν, Ἀνταίου μετὰ καλλίκομον
book 9.106a μναστῆρες ἀγακˈλέα κούραν
book 9.107.1 τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον
book 9.107.2 σύγγονοι, πολλοὶ δὲ καὶ ξεί-
book 9.108.1 νων. ἐπεὶ θαητὸν εἶδος
book 9.108.2 ἔπλετο· χˈρυσοστεφάνου δέ οἱ Ἥβας
book 9.110.1 καρπὸν ἀνθήσαντ’ ἀποδˈρέψαι
book 9.110.2 ἔθελον. πατὴρ δὲ θυγατˈρὶ φυτεύων
book 9.110.3 κλεινότερον γάμον, ἄκουσεν Δαναόν ποτ’ ἐν Ἄργει
book 9.110.4 οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκ-
book 9.113.1 τὼ παρθένοισι πˈρὶν μέσον ἆμαρ, ἑλεῖν
book 9.113.2 ὠκύτατον γάμον· ἔστασεν γὰρ ἅπαντα χορόν
book 9.114a

ἐν τέρμασιν αὐτίκ’ ἀγῶνος·
book 9.115.1 σὺν δ’ ἀέθλοις ἐκέλευσεν διακˈρῖναι ποδῶν,
book 9.115.2 ἅντινα σχήσοι τις ἡρώ-
book 9.116.1 ων, ὅσοι γαμβροί σφιν ἦλθον.
book 9.116.2 οὕτω δ’ ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ
book 9.116.3 νυμφίον ἄνδρα· ποτὶ γˈραμμᾷ μὲν αὐτὰν
book 9.118.1 στᾶσε κοσμήσαις, τέλος ἔμμεν ἄκρον,
book 9.118.2 εἶπε δ’ ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορών
book 9.120.1 ἀμφί οἱ ψαύσειε πέπˈλοις.
book 9.120.2 ἔνθ’ Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον,
book 9.120.3 παρθένον κεδˈνὰν χερὶ χειρὸς ἑλών
book 9.120.4 ἆγεν ἱππευτᾶν Νομάδων δι’ ὅμιλον.
book 9.123.1 πολλὰ μὲν κεῖνοι δίκον
book 9.123.2 φύλλ’ ἔπι καὶ στεφάνους·
book 9.125 πολλὰ δὲ πˈρόσθεν πτερὰ δέξατο νικᾶν.
book 10.1 Ὀλβία Λακεδαίμων,
book 10.2 μάκαιρα Θεσσαλία. πατρὸς δ’ ἀμφοτέραις ἐξ ἑνός
book 10.3 ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.
book 10.4 τί κομπέω παρὰ καιρόν; ἀλλά με Πυθώ
book 10.4 τε καὶ τὸ Πελινναῖον ἀπύει
book 10.5.1 Ἀλεύα τε παῖδες, Ἱπποκλέᾳ θέλοντες
book 10.5.2 ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα.
book 10.1 γεύεται γὰρ ἀέθˈλων·
book 10.2 στρατῷ τ’ ἀμφικτιόνων ὁ Παρνάσσιος αὐτὸν μυχός
book 10.3 διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.
book 10.10 Ἄπολλον, γλυκὺ δ’ ἀνθρώπων τέλος ἀρχά
book 10.10.1 τε δαίμονος ὀρνύντος αὔξεται·
book 10.10.2 ὁ μέν που τεοῖς τε μήδεσι τοῦτ’ ἔπραξεν,
book 10.10.3 τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχˈνεσιν πατρός
book 10.10.4 Ὀλυμπιονίκα δὶς ἐν πολεμαδόκοις
book 10.10.5 Ἄρεος ὅπˈλοις·
book 10.15.1 ἔθηκε καὶ βαθυλείμων ὑπὸ Κίρρας πετρᾶν
book 10.15.2 ἀγὼν κρατησίποδα Φˈρικίαν.
book 10.15.3 ἕποιτο μοῖρα καὶ ὑστέραισιν
book 10.15.4 ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν·
book 10 τῶν δ’ ἐν Ἑλλάδι τερπνῶν
book 10.20.1 λαχόντες οὐκ ὀλίγαν δόσιν, μὴ φθονεραῖς ἐκ θεῶν
book 10.20.2 μετατˈροπίαις ἐπικύρσαιεν. θεὸς εἴη
book 10.20.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπήμων κέαρ· εὐδαίμων δὲ καὶ ὑμνη-
book 10.22.1 τὸς οὗτος ἀνὴρ γίνεται σοφοῖς,
book 10.22.2 ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις
book 10.22.3 τὰ μέγιστ’ ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει,
book 10.25.1 καὶ ζώων ἔτι νεαρόν
book 10.25.2 κατ’ αἶσαν υἱὸν ἴδῃ τυχόντα στεφάνων Πυθίων.
book 10.25.3 ὁ χάλκεος οὐρανὸς οὔ ποτ’ ἀμβατὸς αὐτῷ·
book 10.25.4 ὅσαις δὲ βˈροτὸν ἔθˈνος ἀγˈλαΐαις ἁ-
book 10.28.1 πτόμεσθα, περαίνει πρὸς ἔσχατον
book 10.28.2 πλόον· ναυσὶ δ’ οὔτε πεζὸς ἰών 〈κεν〉 εὕροις
book 10.30.1 ἐς Ὑπερβορέων ἀγῶνα θαυμαστὰν ὁδόν.
book 10.30.2 παρ’ οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας,
book 10.30.3 δώματ’ ἐσελθών,
book 10.30.4 κλειτὰς ὄνων ἑκατόμβας ἐπιτόσσαις θεῷ
book 10 ῥέζοντας· ὧν θαλίαις ἔμπεδον
book 10.35.1 εὐφαμίαις τε μάλιστ’ Ἀπόλλων
book 10.35.2 ⸏χαίρει, γελᾷ θ’ ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων.
book 10.1 Μοῖσα δ’ οὐκ ἀποδαμεῖ
book 10.2 τρόποις ἐπὶ σφετέροισι· παντᾷ δὲ χοροὶ παρθένων
book 10.3 λυρᾶν τε βοαὶ καναχαί τ’ αὐλῶν δονέονται·
book 10.40 δάφνᾳ τε χˈρυσέᾳ κόμας ἀναδήσαν-
book 10.40.1 τες εἰλαπινάζοισιν εὐφρόνως.
book 10.40.2 νόσοι δ’ οὔτε γῆρας οὐλόμενον κέκραται
book 10.40.3 ἱερᾷ γενεᾷ· πόνων δὲ καὶ μαχᾶν ἄτερ
book 10.40.4 οἰκέοισι φυγόντες
book 10.40.5 ὑπέρδικον Νέμεσιν. θρασείᾳ δὲ πνέων καρδίᾳ
book 10.45.1 μόλεν Δανάας ποτὲ παῖς, ἁγεῖτο δ’ Ἀθάνα,
book 10.45.2 ἐς ἀνδρῶν μακάρων ὅμιλον· ἔπεφˈνέν
book 10.46.1 τε Γοργόνα, καὶ ποικίλον κάρα
book 10.46.2 δρακόντων φόβαισιν ἤλυθε νασιώταις
book 10.46.3 λίθινον θάνατον φέρων. ἐμοὶ δὲ θαυμάσαι
book 10.46.4 θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται
book 10.1 ἔμμεν ἄπιστον.
book 10.2 κώπαν σχάσον, ταχὺ δ’ ἄγκυραν ἔρεισον χθονί
book 10.3 πρῴραθε, χοιράδος ἄλκαρ πέτρας.
book 10.4 ἐγκωμίων γὰρ ἄωτος ὕμνων
book 10.5 ⸏ἐπ’ ἄλλοτ’ ἄλλον ὥτε μέλισσα θύνει λόγον.
book 10.55.1 ἔλπομαι δ’ Ἐφυραίων
book 10.55.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅπ’ ἀμφὶ Πηνεϊὸν γλυκεῖαν προχεόντων ἐμάν
book 10.55.3 τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
book 10.55.4 ἕκατι στεφάνων θαητὸν ἐν ἅλι-
book 10.58.1 ξι θησέμεν ἐν καὶ παλαιτέροις,
book 10.58.2 νέαισίν τε παρθένοισι μέλημα. καὶ γάρ
book 10.60.1 ἑτέροις ἑτέρων ἔρωτες ἔκ˙νιξαν φρένας·
book 10.60.2 τῶν δ’ ἕκαστος ὀρούει,
book 10.60.3 τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός·
book 10.60.4 τὰ δ’ εἰς ἐνιαυτὸν ἀτέκ˙μαρτον προνοῆσαι.
book 10.60.5 πέποιθα ξενίᾳ προσανέϊ Θώρα-
book 10.64 κος, ὅσπερ ἐμὰν ποιπνύων χάριν
book 10.65.1 τόδ’ ἔζευξεν ἅρμα Πιερίδων τετράορον,
book 10.65.2 φιλέων φιλέοντ’, ἄγων ἄγοντα προφ˙ρόνως.
book 10.65.3 πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει
book 10.65.4 καὶ νόος ὀρθός.
book 10.65.5 ἀδελφεοῖσί τ’ ἐπαινήσομεν ἐσλοῖς, ὅτι
book 10.70.1 ὑψοῦ φέροντι νόμον Θεσσαλῶν
book 10.70.2 αὔξοντες· ἐν δ’ ἀγαθοῖσι κεῖται
book 10 πατρώϊαι κεδ˙ναὶ πολίων κυβερνάσιες.
book 11.1 Κάδ˙μου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυιᾶτι,
book 11.2 Ἰνὼ δὲ Λευκοθέα
book 11.2.1 ποντιᾶν ὁμοθάλαμε Νηρηΐδων,
book 11.2.2 ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ
book 11.2.3 ματρὶ πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων
book 11.5.1 θησαυρόν, ὃν περίαλλ’ ἐτίμασε Λοξίας,
book 11.5.2 Ἰσμήνιον δ’ ὀνύμαξεν, ἀλαθέα μαντίων θῶκον,
book 11.5.3 ὦ παῖδες Ἁρμονίας,
book 11.7.1 ἔνθα καί νυν ἐπίνομον ἡρωΐδων
book 11.7.2 στρατὸν ὁμαγερέα καλεῖ συνίμεν,
book 11.7.3 ὄφ˙ρα θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν
book 11.10.1 γᾶς ὀμφαλὸν κελαδήσετ’ ἄκ˙ρᾳ σὺν ἑσπέρᾳ
book 11.10.2 ἑπταπύλοισι Θήβαις
book 11.10.3 χάριν ἀγῶνί τε Κίρρας,
book 11.10.4 ἐν τῷ Θρασυδᾷος ἔμνασεν ἑστίαν
book 11.10.5 τρίτον ἔπι στέφανον πατρῷαν βαλών,
book 11.15.1 ἐν ἀφ˙νεαῖς ἀρούραισι Πυλάδα
book 11.15.2 νικῶν ξένου Λάκωνος Ὀρέστα.
book 11.1 τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμήστρας
book 11.2

χειρῶν ὕπο κˈρατερᾶν
book 11.18.1 ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος,
book 11.18.2 ὁπότε Δαρδανίδα κόραν Πριάμου
book 11.20.1 Κασσάνδραν πολιῷ χαλκῷ σὺν Ἀγαμεμνονίᾳ
book 11.20.2 ψυχᾷ πόρευ’ Ἀχέροντος ἀκτὰν παρ’ εὔσκιον
book 11.20.3 νηλὴς γυνά. πότερόν νιν ἄρ’ Ἰφιγένει’ ἐπ’ Εὐρίπῳ
book 11.20.4 σφαχθεῖσα τῆλε πάτρας
book 11.23.1 ἔκˈνισεν βαρυπάλαμον ὄρσαι χόλον;
book 11.23.2 ἦ ἑτέρῳ λέχεϊ δαμαζομέναν
book 11.25.1 ἔννυχοι πάραγον κοῖται; τὸ δὲ νέαις ἀλόχοις
book 11.25.2 ἔχθιστον ἀμπλάκιον καλύψαι τ’ ἀμάχανον
book 11.25.3 ἀλλοτρίαισι γλώσσαις·
book 11.25.4 κακολόγοι δὲ πολῖται.
book 11.25.5 ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον·
book 11.30.1 ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει.
book 11.30.2 θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας
book 11.30.3 ⸏ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκˈλαις,
book 11.1 μάντιν τ’ ὄλεσσε κόραν, ἐπεὶ ἀμφ’ Ἑλένᾳ πυρωθέντας
book 11.2 Τρώων ἔλυσε δόμους
book 11.34 ἁβˈρότατος. ὁ δ’ ἄρα γέροντα ξένον
book 11.35.1 Στροφίον ἐξίκετο, νέα κεφαλά,
book 11.35.2 Παρνασσοῦ πόδα ναίοντ’· ἀλλὰ χρονίῳ σὺν Ἄρει
book 11.35.3 πέφˈνεν τε ματέρα θῆκέ τ’ Αἴγισθον ἐν φοναῖς.
book 11.35.4 ἦρ’, ὦ φίλοι, κατ’ ἀμευσίπορον τρίοδον ἐδινάθην,
book 11.35.5 ὀρθὰν κέλευθον ἰὼν
book 11.39 τὸ πˈρίν· ἤ μέ τις ἄνεμος ἔξω πλόου
book 11.40.1 ἔβαλεν, ὡς ὅτ’ ἄκατον ἐνναλίαν;
book 11.40.2 Μοῖσα, τὸ δὲ τεόν, εἰ μισθοῖο συνέθευ παρέχειν
book 11.40.3 φωνὰν ὑπάργυρον, ἄλλοτ’ ἄλλᾳ {χρὴ} ταρασσέμεν
book 11.40.4 ἢ πατρὶ Πυθονίκῳ
book 11.40.5 τό γέ νυν ἢ Θρασυδᾴῳ,
book 11.45.1 τῶν εὐφροσύνα τε καὶ δόξ’ ἐπιφˈλέγει.
book 11.45.2 τὰ μὲν 〈ἐν〉 ἅρμασι καλλίνικοι πάλαι
book 11.45.3 Ὀλυμπίᾳ τ’ ἀγώνων πολυφάτων
book 11.45.4 ⸏ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις,
book 11 Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤλεγξαν
book 11 Ἑλλανίδα στρατιὰν
book 11.1 ὠκύτατι. θεόθεν ἐραίμαν καλῶν,
book 11.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.
book 11.3 τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων τὰ μέσα μακˈροτέρῳ
book 11.4 {σὺν} ὄλβῳ τεθαλότα, μέμφομ’ αἶσαν τυραννίδων·
book 11.5 ξυναῖσι δ’ ἀμφ’ ἀρεταῖς τέταμαι· φθονεροὶ δ’ ἀμύνονται.
book 11.55 〈ἀλλ’〉 εἴ τις ἄκˈρον ἑλὼν
book 11.55 ἡσυχᾶ τε νεμόμενος αἰνὰν ὕβριν
book 11.1 ἀπέφυγεν, μέλανος {δ’} ἂν ἐσχατιὰν
book 11.2 καλλίονα θανάτου 〈στείχοι〉 γλυκυτάτᾳ γενεᾷ
book 11.3 εὐώνυμον κτεάνων κρατίσταν χάριν πορών·
book 11.4 ἅ τε τὸν Ἰφικλείδαν
book 11.60.1 διαφέρει Ἰόλαον
book 11.60.2 ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,
book 11.60.3 σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ θεῶν,
book 11.60.4 τὸ μὲν παρ’ ἆμαρ ἕδˈραισι Θεράπνας,
book 11 τὸ δ’ οἰκέοντας ἔνδον Ὀλύμπου.
book 12.1 Αἰτέω σε, φιλάγˈλαε, καλλίστα βροτεᾶν πολίων,
book 12.2 Φερσεφόνας ἕδος, ἅ τ’ ὄχθαις ἔπι μηλοβότου
book 12.3 ναίεις Ἀκράγαντος ἐΰδˈματον κολώναν, ὦ ἄνα,
book 12.4 ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενίᾳ
book 12.5.1 δέξαι στεφάνωμα τόδ’ ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ
book 12.5.2 αὐτόν τε νιν Ἑλλάδα νικάσαντα τέχˈνᾳ, τάν ποτε
book 12.5.3 Παλλὰς ἐφεῦρε θρασειᾶν 〈Γοργόνων〉
book 12.5.4 οὔλιον θρῆνον διαπˈλέξαις’ Ἀθάνα·
book 12 τὸν παρθενίοις ὑπό τ’ ἀπˈλάτοις ὀφίων κεφαλαῖς
book 12.10.1 ἄϊε λειβόμενον δυσπενθέϊ σὺν καμάτῳ,
book 12.10.2 Περσεὺς ὁπότε τˈρίτον ἄυσεν κασιγˈνητᾶν μέρος
book 12.10.3 ἐνναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων.
book 12.10.4 ἤτοι τό τε θεσπέσιον Φόρκοι’ ἀμαύρωσεν γένος,
book 12.10.5 λυγˈρόν τ’ ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ’ ἔμπεδον
book 12.15.1 δουλοσύναν τό τ’ ἀναγκαῖον λέχος,
book 12.15.2 εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας
book 12.1 υἱὸς Δανάας, τὸν ἀπὸ χˈρυσοῦ φαμὲν αὐτορύτου
book 12.2 ἔμμεναι. ἀλλ’ ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων
book 12 ἐρρύσατο παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος,
book 12.20.1 ὄφˈρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων
book 12.20.2 χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ’ ἐρικˈλάγκταν γόον.
book 12.20.3 εὗρεν θεός· ἀλλά νιν εὑροῖς’ ἀνδράσι θˈνατοῖς ἔχειν,
book 12.20.4 ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον,
book 12.20.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐκλεᾶ λαοσσόων μναστῆρ’ ἀγώνων,
λεπτοῦ διανισόμενον χαλκοῦ θαμὰ καὶ δονάκων,
τοὶ παρὰ καλλίχορον ναίοισι πόλιν Χαρίτων
Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες.
εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου
οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον
δαίμων—τὸ δὲ μόρσιμον οὐ παρφυκτόν—, ἀλλ’ ἔσται
χρόνος
οὗτος, ὃ καί τιν’ ἀελπτίᾳ βαλών
ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ’ οὔπω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org